Nullamque datur cernere metam,
In qua cursum requiescat homo,
Nisi cum leti frigida venit
Superis mittentibus hora.

❧ *Quotquot rite medicari volunt,*
Spectare debent ipsa terrarum sola,
Populique victum: ferre sic morbis opem.

Vxoris officiū.

❧ *Feminarum apud maritos forma nulli profuit,*
Plurimis virtus. bona omnis nanque, quæ iuncta est viro,
Femina intra disciplinam se tenet modestiæ.
Prima pars hæc est: maritus sit licet deformior,
Debet is pulcher videri mentem habenti coniugi.
Dixerit quiduis maritus, bene putandus dicere est.
Ipsa sit sollicita, siquid dicit, vt placeat viro.

❧ *In saturitate, non in esurie est Venus.*

❧ *Quî posset ædes structa fabrili manu*
Tenere vim parietibus inclusam Dei?

❧ *Me dira egestas subigit, & miserabilis*
Venter, malorum causa quæ ferme omnium.

Σὺ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι·
καὶ κακῶν τῶν σῶν ἀνοίσω· καὶ γὰρ οὐδὲν ἐστί μοι
πικρὸν οὕτω σοῦ φορῆσαι. δυστυχεῖν μετὰ τῶν φίλων
εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;

ἄλλο. Ἀρκεῖ μετρία βιοτὰ
μοι σώφρονος τραπέζας·
τὸ δ' ἄκαιρον ἅπαν ὑπερ-
βάλλον τε μὴ προσοίμαν.

ἄλλο. Θέρους τε, χειμῶνός τε μῆνας τέσσαρας,
φίλης τ' ὀπώρης διπτύχους, ἦρος δ' ἴσους.

ἄλλο. Ὦ πολύμοχθος βιοτὰ θνατοῖς,
ὡς ἐπὶ πάντα σφαλερὰ κεῖσαι,
καὶ τὰ μὲν αὔξεις, τὰ δ' ἀποφθινύθεις·
κοὐκ ἔστιν ὅρος κείμενος οὐδεὶς
εἰς ὅν τινα χρὴ τελέσαι θνητοῖς,
πλὴν ὅταν ἔλθῃ κρυερὰ Διόθεν
θανάτου πεμφθεῖσα τελευτά.

ἄλλο. Ὅσοι θέλουσ' ἰατρεύειν καλῶς
πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν,
καὶ γῆν ἰδόντας, τὰς νόσους σκοπεῖν χρεών.

ἄλλο. Οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον·
ἡ 'ρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνή,
ἥ τις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.
πρῶτα μὲν γὰρ τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ.
εὖ λέγειν δ' ὅτ' ἀντιλέξῃ χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
κἀπορεῖν ἃ τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.

ἄλλο. Ἐν πλησμονῇ τοι Κύπρις, ἐν πεινῶσι δ' οὔ.

ἄλλο. Ποῖος δ' ἂν οἶκος τεκτόνων πλασθεὶς ὕπο
δέμας τὸ θεῖον περιβάλοι τοίχων πτυχαῖς;

ἄλλο. Νικᾷ με χρεία καὶ κακῶς ὀλουμένη
γαστήρ, ἀφ' ἧς δὴ πάντα γίνεται κακά.

❧ *Tellusque mater, quæ situ medio ætheris*
Librata Vestæ nomen à doctis habes.

❧ *Hominibus ipsis melius haud nasci fuit.*
Ego deinde acerbis liberos cruciatibus
Pario. sinistra partubus si mens meis,
Frustra angor animi, cum super video malos,
Bonos perire. fac tamen viuant boni,
Edent perennes corda sollicitudines.
Quid hîc sit ergo dulce? non vnam satis
Curare vitam, proque ea ærumnas pati?

❧ *Mea ista pridem est, & manet sententia,*
Proserere prolem liberûm non debuit
Quisquam videns in quanta nascantur mala.

❧ *Homo nempe natus inde duxisti tuæ*
Vitæ miserias, vnde nos cunctos alit
Æther qui inhalat spiritum viuentibus.
Mortalis ægre ne feras mortalia.

❧ *An seruus is sit, qui nihil metuit mori?*

❧ *Necessitate qui minorem se gerit,*
Sapit ille nobis, ac sciens cœlestium est.

❧ *Aliisque præsens alia medicina est malis:*
Mœstis amica beneuolentum oratio,
At verba castigantia oblitis modi.

❧ *Hac re triumphat quisque, in hanc connititur,*
In qua diei maximam partem terit,
Vt ipse sese euadat excellentior.

❧ *Res non fabriles quippe tractasti faber.*

❧ *Ne subtiles*
Tange loquelas animi: vt quid enim
Vana labores, nisi forte inter
Vis te iactare sodales?

❧ Καὶ Γαῖα μῆτερ, Ἑστίαν δέ σ' οἱ σοφοὶ
βροτῶν καλοῦσιν, ἡμένην ἐν αἰθέρι.

❧ Τὸ μὴ γενέσθαι κρεῖττον ἢ φῦναι βροτοῖς.
ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι
τίκτω, τεκοῦσα δ' ἢν μὲν ἄφρονας τέκω,
στένω ματαίως, εἰσορῶσα μὲν κακοὺς,
χρηστοὺς δ' ἀπολέσασ'· εἰ δὲ καὶ σεσωσμένους,
τήκω τάλαιναν καρδίαν ὀῤῥωδίᾳ.
τί ταυτὶ δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν
ψυχὴν πολύειν, κἀπὶ τῇδ' ἔχειν πόνους;

❧ Ἀλλ' ὡς ἐμοί τε νῦν τε καὶ πάλαι δοκεῖ,
παῖδας φυτεύειν οὔποτ' ἀνθρώποις ἐχρῆν
πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.

❧ Ἄνθρωπος ἐγένου, καὶ τὸ δυστυχὲς βίου
ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπαντας ἤρξατο
τρέφειν ὅδ' αἰθὴρ, ἐνδιδοὺς θνητοῖς πνοάς.
μή τοι τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει.

❧ Τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;

❧ Ὅστις δ' ἀνάγκῃ συγκεχώρηται βροτῶν,
σοφὸς παρ' ἡμῖν καὶ τὰ θεῖ' ἐπίσταται.

❧ Καὶ ἄλλ' ἐπ' ἄλλῃ φάρμακον κεῖται νόσῳ·
λυπουμένῳ μὲν μῦθος εὐμενὴς φίλων,
ἄγαν δὲ μωραίνοντι νουθετήματα.

❧ Λαμπρὸς ἐν
τούτῳ 'στ' ἕκαστος, κἀπὶ τοῦτ' ἐπείγεται,
νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος,
ἵν' αὐτὸς αὑτοῦ τυγχάνει κράτιστος ὤν.

❧ Τέκτων γὰρ ὢν ἔπρασσες οὐ ξυλουργικά.

❧ Μή μοι
λεπτῶν θίγγανε μύθων, ψυχή.
τί περισσὰ φρονεῖς; εἰ μὴ μέλλεις
σεμνύνεσθαι παρ' ὁμοίοις;

Est, sint licet qui rideant, est Juppiter
Superique, casus qui vident mortalium.
Res enim summas Deus
Tractat; minores ire, quà Fors fert, sinit.
Muta esset utinam misera gens mortalium.
Seruare cum quem vult Deus, multas solet
Occasiones tum salutiferas dare.
In multa dum spes studia nos homines trahit,
Frustra laborem ferimus, ignari omnium.
Mala fer, quondam lætus agendo.
Vbicunque prensum iura lædi hostem sinunt.
Hosti nocere iudico officium viri.
In tenue corpus pessima est vis frigoris.
Fratrum implacabile bellum.
A. *Nam quid Deos te colere moriturum attinet?*
B. *At satius hoc est: nullus est pietas labor.*
Præstigiarum mille nos fallunt modis
Superi, ut quibus mens visque sit præstantior.
O res amica barbaris dominatio.

Felicitas hominis.

Nam felicitas
Mortalium illis propria qui minimum dolent.
Sapiens sæpe respondet tacens.
Mortalium cuïque sua mens est Deus.

Prædictiones.

Primum quidem diuina prædixit, fide
Oraculorum, siderumve è cursibus.
Non ære vinctus, sed pudoris vinculo.

Constantia.

Ure hæc cremaque membra, & impletor meis
Potans rubentem sanguinem: in terram prius
Descendet æther, terra se in cœlum feret,
Quam blanda de me veniat ad te oratio.
Perplexa mentem sors agitat meam,
Fortuna nostras res regat, an Deus,

Ἀλλ' ἔστιν, ἔστι, κἂν τις ἐγγελᾷ λόγῳ,
Ζεὺς καὶ θεοὶ βρότεια λεύσσοντες πάθη.

Τὰ μὲν ἄγαν γὰρ ἀπόλλυσι
θεός, τὰ μικρὰ δ' εἰς τύχην ἀνεὶς ἐᾷ.

Εἴθ' ἦν ἄφωνον σπέρμα δύστηνον βροτῶν.

Σῶσαι γὰρ ὁπόταν τῷ θεῷ δοκῇ τινά,
πολλὴν δίδωσι πρόφασιν εἰς σωτηρίαν.

Σπουδάζομεν δὲ πολλὰ βροτοί, ὑπ' ἐλπίδων
μάτην πόνους ἔχοντες, οὐδὲν εἰδότες.

Πάσχων ἀνάσχου· δρῶν γὰρ ἔχαιρες.

Νόμος τὸν ἐχθρὸν δρᾶν ὅπου λάβῃς κακῶς.

Ἐχθρὸν κακῶς δρᾶν ἀνδρὸς ἡγοῦμαι μέρος.

Ψύχος δὲ λεπτῷ χρωτὶ πολεμιώτατον.

Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.

A. Τί δεῖ θεοὺς σέβειν σε κατθανούμενον;
B. Ἄμεινον· οὐδεὶς κάματος εὖ σέβειν θεούς.

Πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείσσονες πεφυκότες.

Ἰὼ τυραννὶ βαρβάρων ἀνδρῶν φίλη.

Ἡ βροτῶν τ' εὐπραξία
τῶν τἀλάχιστα γίνεται λυπουμένων.

Σιωπὴ τοῖς σοφοῖς ἀπόκρισις.

Ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.

Ἡ πρῶτα μὲν τὰ θεῖα προὐμαντεύσατο
χρησμοῖσιν, ἢ δι' ἀστέρων ἐπηλυτολάς.

Αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.

Πίμπρα, κάταιθε σάρκας, ἐμπλήσθητί μου
πίνων κελαινὸν αἷμα· πρόσθε γὰρ κάτω
γῆς εἶσιν ἄστρα, γῆ τ' ἄνεισ' εἰς αἰθέρα,
πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.

Γολλάκι μοι πραπίδων διῆλθε φροντίς,
Εἴτε τύχα, εἴτε δαίμων τὰ βρότεια κραίνει,

Spem sæpe præter, præter æquum
Hos euolutos de paternis
Egere cogens triste penatibus,
Felicia illis tempora diuidens.

Contemplatio rerũ cœlestium.

Aurea me dorsi compagine
Penna vehet, pedibusque volucria
Sirenum nectam talaria:
Sic altum penetrabo per æthera,
Colloquioque fruar magni Iouis.

Theologia recondita Gentium.

Tibi cunctorum domino vinum
Salsamque molam fero, seu Ditis
Tu siue Iouis nomine gaudes.
Cunctis larga defusa manu
De frugibus accipe dona.
Tu nanque Deos Superos inter
Sceptrum tractas sublime Iouis,
Idem regnum terrestre tenes.
Tu lucem animis infunde virûm,
Qui scire volunt, quo sata mentis
Lucta sit ortu, quæ causa mali,
Cui cœlicolûm rite litando
Requiem sit habere laborum.

Principia rerum.

Æthera concelebro, Telluremque omniparentem.

LYC. *Non sine periclo filia ægrotat mea.*
B. *Quæ causa? quale est hanc quod afflictat malum?*
An latera vexat frigus è bile excitum?

Pleuritidis causa.

Dicis hæc tu, non ego.

Vincere, viuereque optima res est.
Si moriendum est, ita dulce mori
Vitam vt virtus sorbeat in se.

Malos voluptas aliqua conciliat malis.

Forma statariæ.

Eximia, vt reor,

πολλὰ τ' ἐλπίδα καὶ πολλὰ δίκην
τοὺς μὲν ἀπ' οἴκων ἀναπίπτοντας
ἄτερ βίου, τοὺς δ' εὐτυχοῦντας ἄγει.

Χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ,
καὶ τὰ Σειρήνων πτερόεντα πέδιλα
ἁρμόζεται, βάσομαι δ' ἐς αἰθέρα πολὺν
ἀερθεὶς, Ζανὶ προσμίξων.

Σοὶ τῷ πάντων μεδέοντι χλόην,
πέλανόν τε φέρω Ζεὺς εἴτ' Ἀΐδης
ὀνομαζόμενος στέργεις· σὺ δέ μοι
θυσίαν ἄπυρον παγκαρπείας
δέξαι πλήρη προχυτήν τε.
σὺ γὰρ ἔν τε θεοῖς τοῖς οὐρανίδαις
σκῆπτρον τὸ Διὸς μεταχειρίζων,
χθονίων θ' ᾅδῃ μετέχεις ἀρχῆς.
πέμψον μὲν φῶς ψυχαῖς ἀνέρων
ταῖς βουλομέναις ἄθλους προμαθεῖν
πόθεν ἔβλαστον, τίς ῥίζα κακῶν,
τίνι δεῖ μακάρων ἐκθυσαμένους
εὑρεῖν μόχθων ἀνάπαυλαν.

Αἰθέρα καὶ Γαῖαν πάντων γενέτειραν ἀείδω.

Λυκ. Ἡ παῖς νοσεῖ τε κἀπικινδύνως ἔχει.
Β. Πρὸς τοῦ δε; τίς μιν πημονὴ δαμάζεται;
μῶν ψυχρὸς αὐτῆς πλευρὰ γυμνάζει χολῆς;

Σὺ γὰρ λέγεις ταῦτ', οὐκ ἐγώ.

Σώζεσθαι νικῶντας ἄεισον
Εἰ γὰρ θανεῖν θέμις, ὧδε θανεῖν καλὸν,
Εἰς ἀρετὴν καταδυσαμένους βίον.

Κακὸς κακῷ γὰρ συντέτηκεν ἡδονῇ.

Οὐ γὰρ ἀσφαλές,

Vltraque mediam forma non tuta est satis.

Res cuius ergô exstiterat hæc, finem hunc habet.

Vita hæc vocatur vita, reuera est labor.

Pecunia in res regimen humanas tenet.

Felix animo quisquis doctas
Imbibit artes: non ille malum
Quærit populo: sed nec ad actus
Fertur iniquos. senij ignarum,
Natura, tuum speculatur opus,
Vbi constiterit, qui, quoque modo.
Factu quicquid turpe est, animis
Id nunquam talibus hæret.

Miser ille, potest
Hæc qui spectans nescire Deum:
Sed celsa loquens velut implicitos
Deijcit astus, qualia inanis
Lingua effutit cum certi habeat
Nîl de spectare negatis.

Nouique casus subito cùm tibi se ingerent,
Talem virum tibi adesse magno emtum voles.

Pulchra cui fandi datur
Materia, bene si dicit, id minime nouum est.

Regio optima.

Iactare siquid obiter, ô mulier, licet,
Bene temperato nostra sub cœlo est humus:
Non nimia torret flamma, non nimium gelu.
Europa quicquid, Asia fert quicquid boni,
Potissima horum seduli in nos vertimus.

Sic est: amicorum opera quos sanguis ligat
Prodesse sola rebus in miseris solet.

Dei prouidentia.

Mortale miserum sapere cur ergo genus
Putatur? à te nostra pendent omnia,
Facimusque visum quod voluntati tuæ est.

οἴμοι

οἶμαι περαίτερον κάλλος ἢ 'ν μέσῳ λαβεῖν.

Ἄλλ. Ἔχει τελευτὴν ἅπερ οὐκ ἐγένετο.

Ἄλλ. Ὁ βίος γὰρ ὄνομ' ἔχει, πόνος δ' ἔργῳ πέλει.

Ἄλλ. Χρυσός γάρ ἐστιν ὃς βροτῶν ἔχει κράτος.

Ἄλλ. Ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν, μήτε πολιτῶν
ἐπὶ πημοσύνας, μήτ' εἰς ἀδίκους
πράξεις ὁρμῶν· ἀλλ' ἀθανάτου
καθορῶν φύσεως κόσμον ἀγήρω,
πῆ τε συνέστη, καὶ ὅπη καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέτημα προσίζει.

Ἄλλ. Ἆ δυσδαίμων
ὅς τάδε λεύσσων θεὸν οὐχὶ νοεῖ,
μετεωρολογῶν δὲ καταρρίπτει
σκολιὰς ἀπάτας, ὧν ἀτειρὴς
γλῶσσ' εἰκοβολεῖ, περὶ τῶν ἀφανῶν
οὐδὲν γνώμης μετέχουσα.

Ἄλλ. Καὶ ξυμπεσόντων πραγμάτων ἄλλων ποτὲ
δόξῃ τοιοῦτον ἄνδρα σοι παρεστάναι.

Ἄλλ. Τὸν λαβόντα τῶν λόγων
καλὰς ἀφορμὰς, οὐ μέγ' ἔργον εὖ λέγειν.

Ἄλλ. Εἰ δὴ πάρεργον χρή τι κομπῆσαι, γύναι,
οὐρανὸν ὑπὲρ γῆς ἔχομεν εὖ κεκρασμένον,
ἵν' οὔτ' ἄγαν πῦρ, οὔτε χεῖμα συμπίτνει·
ἣ δ' Ἑλλὰς Ἀσία τε κάλλιστα τρέφει,
τῆς γε δέλεαρ ἐνταῦθα συνθηρώμεθα.

Ἄλλ. Φίλων γε μέν τοι χρῆσις ἡ πρὸς αἵματος
μόνη κακοῦ ῥέοντος ὠφελεῖν φιλεῖ.

Ἄλλ. Τί δῆτα τούτους τοὺς ταλαιπώρους βροτοὺς
φρονεῖν λέγουσι; σοῦ γὰρ ἐξηρτήμεθα,
δρῶμέν τε τοιαῦθ' ἃ σύ γε τυγχάνῃς θέλων.

Suaui quidem,
Sed improbando victui os addixeram.
Speciosa mitte: prome queis vrbi est opus.
Non feminarum, non virûm præcordia
Cupido domitat sola, sed Superûm quoque
Perurit animos: penetrat & ponti vada.

Deus.

Qui cuncta cernit, ipse se cerni vetat.
Considerantes fluxa quam sint res, opes,
Quin agimus æuum dulce sine mæroribus?

ἄλλο Φαύλῃ διαίτῃ προσβαλὼν ἥσθην στόμα.

ἄλλο Μή μοι τὰ κομψὰ λέγε σύ, ἀλλ' ὧν δεῖ πόλει.

ἄλλο Ἔρως γὰρ ἄνδρας οὐ μόνους ἐπέρχεται,
οὐδ' αὖ γυναῖκας· ἀλλὰ καὶ θεῶν ἄνω
ψυχὰς ταράσσει, κἀπὶ πόντον ἔρχεται.

ἄλλο Τὸν πάνθ' ὁρῶντα, καὐτὸν οὐχ ὁρώμενον.

ἄλλο Τί δήποτ' ὄλβῳ μὴ σαφεῖ βεβηκότες,
οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι;

EXCERPTA EX TRAGICIS qui perierunt.

AGATHONIS.

INCERTA TRAGOEDIA. St. Fl. 137. 149. 151. bis. 201. 205. 337.

OPerose id agimus, agere quod non est opus:
At in eo quod opus est, opera perfunctoria est.
Si vera dicam, gaudio tibi non ero:
Si gaudio sum, vera non dicam tibi.
Victi malorum mole degeneres solent
Optare mortem.
Bene fortè dicas hoc fide dignissimum,
Accidere multa hominibus aliena à fide.
Quædam potest ars facere: sed multa accidunt
Nobis, ita vt fors iussit, aut necessitas.
Non si feminæ corpus pigrum est,
Etiam intus animi pigra cogitatio est.
Obtundis, & tu me rogans & Neotropus
Sermonis auctor huius alieno in loco.
Vna hæc potestas desit etiam ipsi Deo,
Infecta facere facta quæ iam sunt prius.
Ars atque Fortuna inuicem se diligunt.
Hos in quadriiuges,

ΕΚΛΟΓΑΙ

ΕΚ ΤΡΑΓΩΔΟΠΟΙΩΝ τῶν ἀπολλυμένων.

ΑΓΑΘΩΝΟΣ.

ΑΔΗΛΩΙ.

Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα,
τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα.
Εἰ μὲν φράσω τἀληθὲς, οὐχί σ' εὐφρανῶ·
εἰ δ' εὐφρανῶ τί σ', οὐχὶ τἀληθὲς φράσω.

Φαῦλοι βροτῶν γὰρ τοῦ πονεῖν ἡσσώμενοι
θανεῖν ἐρῶσι.

Τάχ' ἄν τις εἰκὸς αὐτὸ τοῦτ' εἶναι λέγοι,
βροτοῖσι πολλὰ τυγχάνειν οὐκ εἰκότα.

Καὶ μὴν τὰ μέν γε τῇ τέχνῃ πράσσειν· τὰ δὲ
ἡμῖν ἀνάγκῃ καὶ τύχῃ προσγίγνεται.

Γυνὴ δὲ σώματος δι' ἀργίαν
ψυχῆς φρόνησιν ἐντὸς οὐκ ἀργὸν φορεῖ.

Ἀπολεῖς μ' ἐρωτῶν καί συ καὶ ὁ Νεόζηπος
ἐν οὐ πρέποντι τοῖς λόγοισι χρώμενος.

Μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται,
ἀγένητα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα.

Τέχνη τύχην ἔστερξε καὶ τύχη τέχνην.

Πρὸς δὲ τεπράγμενοι δ' ὅλοι,

Metum, dolorem, cupiditatem, gaudia,
Meditatione maxima & pugna est opus:
Hi nanque sunt hi nostra qui sub viscera
Intrant, & imo corde qui fluctus cient.

ALCÆI.

SORORIBVS ADVLTERIS.

S*Tultum esse, sed sic mens vt adsit polypi.*

ANTIPHONTIS.

INCERTA.

N*Atura quorum superat, arte hæc vincimus.*

APOLLONIDÆ.

INCERTA TRAGOEDIA. St. Fl. 275. bis.

ARISTARCHI.

TANTALO. St. Ecl. 171.

τὴν ἡδονὴν, ἐπιθυμίαν, λύπην, φόβον,
ἀσκήσεώς γε καὶ μάχης πολλῆς δέῃ·
οὗτοι γὰρ οὗτοι καὶ διὰ σπλάγχνων ἔσω
χωροῦσι καὶ κυκῶσιν ἀνθρώπων κέαρ.

ΑΛΚΑΙΟΥ.

ΑΔΕΛΦΑΙΣ ΜΟΙΧΕΥΟΜΕΝΑΙΣ.

Ἠλίθιον εἶναι, νοῦν δὲ πουλύποδος ἔχειν.

ΑΝΤΙΦΩΝΤΟΣ.

ΑΔΗΛΩι.

Τέχνῃ κρατοῦμεν ὧν φύσει νικώμεθα.

ΑΠΟΛΛΩΝΙΔΟΥ.

ΑΔΗΛΩι.

ΑΡΙΣΤΑΡΧΟΥ.

ΤΑΝΤΑΛΩι.

INCERTA TRAGOEDIA. St. Fl. 241. 491.

NOn hæc ego vltro dico, sed me vindicans.

ASTYDAMANTIS.

HERCVLE SATYRICO.

QVi sapit poëta, debet ille spectatoribus
Ceu dapes præbere lectas splendido in conuiuio,
Ut bibat qui vult edatque quod bibens simul
atque edens
Gaudeat, nec apparatus adsit vnus musicæ.

NAVPLIO. St. Fl. 493.

INCERTA TRAGOEDIA. St. Fl. 143. 351.

VItemque hominibus
Mærorimedicam vinigenitricem dedit.

ACHÆI.

ÆTHONE SATYRICO.

ACerba Cypris esurientibus.

ΑΔΗΛΩι.

Τάδ' οὐχ ὑπῆρχον, ἀλλὰ τιμωρούμενος.

ΑΣΤΥΔΑΜΑΝΤΟΣ.

ΗΡΑΚΛΕΙ ΣΑΤΥΡΙΚΩι.

Ὥσπερ οὖν δείπνου γλαφυροῦ ποικίλην εὐωχίαν
τὸν ποιητὴν δεῖ παρέχειν τοῖς θεαταῖς τὴν σοφὸν,
ἵνα πίῃ τε καὶ φάγῃ τις ὅσπερ πιών τε καὶ
φαγὼν
χαίρεται· σκευασία δ' εἴη μὴ μίη τῆς μουσικῆς.

ΝΑΥΠΛΙΩι.

ΑΔΗΛΩι.

Καὶ θηρσὶ τὴν ἀκεσφόρον
λύπης ἔφηνεν οἰνομήτορ' ἄμπελον.

ΑΧΑΙΟΥ.

ΑΙΘΩΝΙ ΣΑΤΥΡΙΚΩι.

Πεινῶσι γὰρ Κύπρις πικρά.

CYCLOPE.

PVls vilis homini carior torto fame,
Et ebore & auro.

OMPHALE SATYRICA.

AB inualente sæpe quantumvis celer
Repente capitur, aquilaque à testudine.
Seruis erat quam facilis, & toti domo?

PHILOCTETE.

Celeritas in bellis.

AVxilia tempus ferre. dux vobis ego.
Capulo properiter miles admoueat manum:
Tuba sonante signa quamprimum canant:
Eleleu: moram res non ferunt.
Quid enim est opus,
Quæ sana adhuc sunt cogere in sensum mali?

DICÆOGENIS.

INCERTA TRAGOEDIA. St. Fl. 261. 337.

DIOGENIS OENOMAI.

ΚΥΚΛΩΓΙ.

Πεινῶντι δ' αἰδεῖ μᾶζα τιμιωτέρα
χρυσοῦ τε κἀλέφαντος.

ΟΜΦΑΛΗι ΣΑΤΥΡΙΚΩι.

Ἁλίσκετ' ἄρα τε καὶ πρὸς ἀσθενοῦς ταχὺς,
καὶ πρὸς χελώνης αἰετὸς βραχεῖ χρόνῳ.
ἄλλ. Ὡς εὔδουλος, ὡς εὔοικος ἦν;

ΦΙΛΟΚΤΗΤΗι.

Ὥρα βοηθεῖν ἐστίν· ἡγοῦμαι δ' ἐγώ.
προσβαλλέτω τις χεῖρα φασγάνου λαβῇ.
σάλπιγγι δ' ἄγγος ὡς τάχος σημαινέτω·
ὥρα ταχύνειν, ἐλελεῦ.
ἄλλ. Τί χρὴ
τὰ μὴ νοσοῦντα συννοσεῖν ἀναγκάσαι;

ΔΙΚΑΙΟΓΕΝΟΥΣ.

ΑΔΗΛΩι.

ΔΙΟΓΕΝΟΥΣ ΟΙΝΟΜΑΟΥ.

INCERTA TRAGOEDIA. St. Fl. 327.

QVeis cor subegit molle delicijs suis
Effeminator luxus in tenebris latens,
Grauis his labor vel minimus.

DIONYSII TYRANNI.

INCERTA TRAGOEDIA. St. Fl. 149. bis. 187.

THEODECTÆ.

ALCMÆONE.

CLara inter homines fertur hæc sententia:
Res inter omnes femina infelicius
Nîl repperiri.

BELLEROPHONTE. St. Fl. 67.

HELENA.

VTraque generis parte prognatam Deis
Eritne seruam nominare qui audeat?

ΑΔΗΛΩι.

Οἱ τῆς ἀνάνδρου καὶ διεσχηματισμένης
τρυφῆς ὑφ' ἡδοναῖσιν ἁλόντες κέαρ,
ποιεῖν θέλουσιν οὐδὲ βαιά.

ΔΙΟΝΥΣΙΟΥ ΤΥΡΑΝΝΟΥ.

ΑΔΗΛΩι.

ΘΕΟΔΕΚΤΟΥ.

ΑΛΚΜΑΙΩΝΙ.

Σαφὴς μὲν ἐν βροτοῖσιν ὑμνεῖται λόγος,
ὡς οὐδέν ἐστιν ἀθλιώτερον φυτὸν
γυναικός.

ΒΕΛΛΕΡΟΦΟΝΤΗι.

ΕΛΕΝΗι.

Θείων ἀπ' ἀμφοῖν ἐκγόνου ῥιζωμάτων
τίς ἂν προσειπεῖν ἀξιώσειεν λάτριν;

OEDIPODE.

Nox & dies.

SVnt geminæ, quarum gignit germana sororem,
Atque hæc quæ genuit rursum generatur ab illa.

INCERTA. ST. ECL. 123. 141. vbi & quod Antiphani asscribitur, alij Theodectæ esse malunt. ST. FL. 129. 139. 285. 353. 437.

Literæ Græcæ.

SCripturæ initium nigrocellus circulus:
Post hunc sequuntur regulæ æquales duæ,
Quas vna iungit media transuersum iacens.
Crispi capilli tertium formam refert:
Tridens deinde, sed reclinis in latus:
Quintum, supernæ regulæ æquales duæ,
Pars ima quarum sibi propinquantum coit.
Sextum capillus, antè qualem dixeram.

Æthiopum nigredo & forma capillorum vnde?

Cui Sol propinquas admouens terræ rotas,
Fuliginosis hominum adurens corpora
Pinxit figuris, atque contorsit comam
Quam sese in altum erigere non siuit calor.

THESPIDIS.

INCERTA TRAGOEDIA.

VIdes vt alios Juppiter superet Deos:
Mendacium illi & risus & fastus procul.
Vnus Deorum est dulce quem non attigit.

ΟΙΔΙΠΟΔΙ.

Εἰσὶ κασίγνηται διτταί, ὧν ἡ μία τίκτει τὴν ἑτέραν· αὐτὴ δὲ τεκοῦσα πάλιν ὑπὸ ταύτης τεκνοῦται.

ΑΔΗΛΩι.

Γραφῆς ὁ πρῶτος ἦν μεγαλόφθαλμος κύκλος·
ἔπειτα δύο οἱ κανόνες ἰσομέτροι πάνυ·
τούτους δὲ πλάγιος διὰ μέσου συνδεῖ κανών.
τρίτον δ' ἑλικτῷ βοστρύχῳ προσεμφερές·
ἔπειτα τρίοδος πλάγιος ὡς ἐφαίνετο.
πέμπτον δ' ἄνωθεν ἰσομέτροι ῥάβδοι δύο,
αὗται δὲ συντείνουσιν εἰς βάσιν μίαν.
ἕκτον δ' ὅπερ καὶ πρόσθεν εἴη βόστρυχος.
Ἧς ἀρχιτέρμων ἥλιος διφρηλατῶν
σκοτεινὸν ἄνθος ἐξέχρωσε λιγνύος
Εἰς σώματ' ἀνδρῶν, καὶ συνέστρεψεν κόμας
μορφαῖς ἀναυξήτοισι συντήξας πυρός.

ΘΗΣΕΥΣ

ΘΕΣΠΙΔΟΣ.

ΑΔΗΛΩι.

Ὁρᾷς ὅτι Ζεὺς τῷδε πρωτεύει θεῶν,
οὐ ψεῦδος, οὐδὲ κόμπον, οὐ μῶρον γέλων
ἀσκῶν· τὸ δ' ἡδὺ μοῦνος οὐκ ἐπίσταται.

IONIS.

PHOENICE.

TErrestria inter plus leoninos probo
Mores, echini misera quam molimina,
Qui simul ab aliȷs impeti se scit feris,
Denso sub orbe sentium corpus tegens,
Mordere & vltro tangere ignarus, iacet.

INCERTA TRAGOEDIA.

PVerum inscium domari, cui cornua rutilant
Caput æmulata tauri, iuuenẽ neque iuuenẽ,
Animi, merum, leuamen, hominum generis herum.
Virtus enim delphinis in sicco iacet.
Lacæna verbis non superbit ciuitas,
Sed vis vt aliqua Martis incubuit recens,
Consilia præsunt, fortis exsequitur manus.
Oculos læsus, saucius artus
Virtutis adhuc memor ille est:
Et deficiens mortem vocitat:
Mortem monstrat
Sibi seruitio esse priorem.
Te nosce, dictum est illud haud longum quidem:
Operi Deorum nemo par præter Iouem.
Veniens amicus tædio est; abiens, grauis.
Nolite claudam cernere Græciam:

ΙΩΝΟΣ.

ΦΟΙΝΙΚΙ.

Ἀλλ' ἔν τε χέρσῳ τὰς λέοντος ᾔνεσα,
ἢ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας·
ὅς εὖτ' ἂν ἄλλων θηρίων ὁρμὴν μάθῃ,
στρόβιλον ἀμφ' ἄκανθαν εἰλίξας δέμας
κεῖται δακεῖν τε καὶ θιγεῖν ἀμήχανος.

ΑΔΗΛΩι.

Ἄδαμον παῖδα ταυρωπὸν, νέον οὐ νέον,
ἥδιστον πρόπολον βαρυγδούπων ἐρώτων,
οἶνον ἀερσίπνοον, ἀνθρώπων πρύτανιν.

Κεῖται γὰρ ἡ δελφῖνος ἐν χέρσῳ βία.

Οὐ γὰρ λόγοις Λάκαινα πυργοῦται πόλις,
ἀλλ' εὖτ' Ἄρης νεοχμὸς ἐμπέσῃ στρατῷ,
βουλὴ μὲν ἄρχει, χεὶρ δ' ἐπεξεργάζεται.

Ἀλλ' οὐδ' ὅμως σῶμα τυπεὶς, διφυεῖς
τε χόρας, ἐπιλάθεται ἀλκᾶς·
ἀλλ' ὀλιγοδρανέων φθεγγάζεται
θάνατον· θάνατον
δ' ὅμως δουλοσύνας προβέβουλε.

Τὸ, Γνῶθι σαυτὸν, τοῦτ' ἔπος μὲν οὐ μέγα,
ἔργον δ' ὅσον Ζεὺς μόνος ἐπίσταται θεῶν.

Φίλων δ' ὅ,τ' ἐλθὼν λυπρὸς, ὅ,τ' ἀπιὼν βαρύς.

Μήτε τὴν Ἑλλάδα χωλὴν,

Hanc ciuitatem compare ſeiugem
Spectare ne pulchrum putate.
※ *Spernendus haud erat ore, venerandus magis,*
Multo atque criſpo crine velatus caput.

CARCINI.

SEMELE.

O *Dî, quid opus eſt feminis male dicere?*
Satis hoc vel vnum eſt feminam ſi dixeris.

TEREO. St. Fl. 425.

INCERTA TRAGOEDIA. St. Fl. 127. 139. 151. 377.

M*Vtatus ille non erit: nanque inſitis*
Animo inſtitutis ſtabile fundatam indolem
Ad praua agenda nulla trahet occaſio.

CRATETIS.

INCERTA TRAGOEDIA.

M*Ihi patria non vrbs vna, non vna eſt domus;*
Verùm quot vrbes, quot domos tellus habet,
Totidem mihi ſunt aqua ad hanc vitam loca.

μήτε τὴν πόλιν ἐπερρόζυγα
περιιδεῖν γεγλυμμένην.

γρ. Τὴν γὰρ ἰδέαν οὐ μεμπτός, ἀλλ' ἦσα μέγας
οὔλῃ τε πολλῇ τε τριχὶ τῆς κεφαλὴν κομῶν.

ΚΑΡΚΙΝΟΥ.

ΣΕΜΕΛΗι.

Ὦ Ζεῦ, τί χρὴ γυναῖκας ἐξειπεῖν κακόν;
ἀρκοῦν ἂν εἴη κἂν γυναῖκ' εἴπης μόνον.

ΤΗΡΕΙ.

ΑΔΗΛΩι.

Οὐ κρίνος ἐξέστησε. τὰς γὰρ ἐμφύτοις
ὀρθῶς παγείσας νουθετήμασι φρένας,
οὐδεὶς ἐπαίρει καιρὸς ἐξαμαρτάνειν.

ΚΡΑΤΗΤΟΣ.

ΑΔΗΛΩι.

Οὐχ εἷς πάτρα μοι πύργος, οὐ μία στέγη·
πάσης δὲ χέρσου καὶ πόλισμα καὶ δόμος
ἕτοιμος ἡμῖν ἐνδιαιτᾶσθαι πάρα.

Fames amorem sedat, aut saltem dies:
Si non medentur ista, laqueus remedium est.

CRITIÆ.

PIRITHOO. ST. FL. 142. vbi Pirithoi nomen ponitur sine nomine auctoris, quia Euripidis an Critiæ esset, veteres dubitarunt. Itaque & quæ ex Euripidis Pirithoo adduximus, dubium est an non huc pertineant, vt & magnum illud fragmentum ex Sisypho, quod Euripidi Plutarchus tribuit diserte, Critiæ non minus expresse Sextus Pyrrhonicus.

INCERTA TRAGOEDIA. ST. ECL. 141. ST. FL. 83. 125. vbi quidam libri non illum versum, sed proxime antecedentem Critiæ tribuunt. 391.

Homini genito nihil est certi,
Nisi quod nascens, nisi quod viuens,
Extra mortis nequit ire viam.

LYCOPHRONIS.

PELOPIDIS. ST. FL. 495.

Ἔρωτα παύει λιμός· εἰ δ' μή, χρόνος·
ἐὰν δὲ τούτοις μὴ δυνῃ χρῆσθαι, βρόχος.

ΚΡΙΤΙΟΥ.

ΠΕΙΡΙΘΟΩι.

ΑΔΗΛΩι.

ΑΝθρώπῳ γὰρ γενομένῳ
βέβαιον μὲν οὐδὲν,
εἰ μὴ ὅτι τοῦ θανεῖν γενομένῳ καὶ ζῶντι
μὴ οἷόν τε ἐκτὸς αὐτοῦ βαίνειν.

ΛΥΚΟΦΡΟΝΟΣ.

ΠΕΛΟΠΙΔΑΙΣ.

MELANTHII.

INCERTA TRAGOEDIA.

DIra ac tristia
Facit ira, mentem sede demutans sua.

MELANIPPIDÆ.

PROSERPINA. St. Ecl. 165.

INCERTA.

ME pater audi, quem gens hominum
Mirata colit, cui morte carens
Anima est cordi.

Grata virorum
Æstas animis quæ sapiendi
Seuit amorem.

NEOPHRONIS.

MEDEA. St. Fl. 107.

ΜΕΛΑΝΘΙΟΥ.

ΑΔΗΛΩ.

Θυμὸς τι μείω
πράσσει τὰ δεινὰ τὰς φρένας μετοικίσας.

ΜΕΛΑΝΙΠΠΙΔΟΥ.

ΠΕΡΣΕΦΟΝΗι.

ΑΔΗΛΩι.

Κλῦθί μου, ὦ πάτερ μέγα θαῦμα βροτῶν,
τᾶς ἀειζώου ψυχᾶς μεδέων.

Καὶ· Γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποσπείρων
πραπίδων πόθον.

ΝΕΟΦΡΟΝΟΣ.

ΜΗΔΕΙΑι.

SOSITHEI.

MISERO. St. Fl. 199.

TIMOTHEI.

PERSIS.

Colite pudorem: nanque virtutis comes
Pugnacis ille est.

ΣΩΣΙΘΕΟΥ.

ΑΘΛΙΩι.

ΤΙΜΟΘΕΟΥ.

ΠΕΡΣΑΙΣ.

ΑΙδῶ σέβεσθε σύνεργὸν ἀρετῆς δορυμάχου.

EXCERPTA EX TRAGICIS incertis.

INCERTA TRAGOEDIA. St. Fl. 441.

INuidia quædam facile cognatos ſubit.
Reges amicos, non regens qu antũ velis.
Nam vaga nec ales propriã ſibi ſi domũ
Exſtruxit, alibi parere pullitiem volet.
Si noſtra in illum ſe ira non recte ferat,
Qui non ſua aliquid ſponte commiſit mali,
Nec qui coactus alteri benefecerit,
Vllum meretur aut honorem aut gratiam.
Nam ſi inter homines eſt frequens mendacium
Credibile, quidni eueniat è contrario
Verum vt ſit illud quod fidem non inuenit?
Res ſæpe multis proſperas tribuit Deus,
Non quia bene illis vult, ſed ex illis bonis
Illuſtriores facere quod clades ſtudet.
Suem ecce ſetis horridam non fœmina
Tantum, ſed infans perfricans tenera manu
Vi pugilis omni temperabit facilius.
Dat mihi Deus præcinere quæ proſunt nihil:
Ab his in ipſa qui inciderunt iam mala
Sapiens perhibeor.

ΕΚΛΟΓΑΙ
ΕΚ ΤΡΑΓΩΔΟΠΟΙΩΝ
ἀδήλων.

ΑΔΗΛΩι.

Τὸ συγγενὲς γὰρ καὶ φθονεῖν ἐπίσταται.
Φίλων γὰρ ἄρξεις, μὴ κρατῶν ὅσων θέλῃς.
Οὐδ' ἀγρία γὰρ ὄρνις ἣν πλάσῃ δόμον
ἄλλῃ νεοσσοὺς ἠξίωσεν ἐκτεκεῖν.
Εἰκὸς γὰρ οὐδὲ τοῖς κακῶς δεδρακόσιν
ἀκουσίως δίκαιον εἰς ὀργὴν πεσεῖν,
οὔτ' εἴτ' ἀναγκασθείς τις εὖ δράσῃ τινὶ,
προσῆκόν ἐστι τῷδ' ὀφείλεσθαι χάριν.
Ἀλλ' εἰκός ἐστιν ἐν βροτοῖς ψευδηγορεῖν
πιθανὸν, νομίζειν χρή σε καὶ τοὐναντίον
ἄπιστ' ἀληθῆ πολλὰ συμβαίνειν βροτοῖς.
Πολλοῖς ὁ δαίμων οὐ κατ' εὔνοιαν φέρων
μεγάλα δίδωσιν εὐτυχήματ', ἀλλ' ἵνα
τὰς συμφορὰς λάβωσιν ἐπιφανεστέρας.
Καὶ γὰρ κάτοπτρον φριξαύχεν', οὐ μόνον γυνὴ,
παῖς δ' αὖ νεογνὸς χεὶ προσκινήθων νέᾳ
κλίναι, παλαιοῦ πλοῦτος εὐμαρέστερον.
Ἄκραντον αὖ μ' ἔθηκε θεσπίζειν θεός·
καὶ πρὸς παθόντων κἀν κακοῖσι κειμένων
σοφὴ κέκλημαι.

❧ *Diuina quoties ira quenquam hominum premit,*
Primum bonam illi deripit de pectore
Mentem, inque peius omne consilium trahit,
Errationes ipse ne videat suas.

❧ *Quoties alicui destinat clades Deus,*
Vim lædit illam in mente, quæ deliberat.

❧ *Dicam aliquid audax. sunt Dei, an non sunt Dei?*
Nam me malorum perculit felicitas.

❧ *Quæ sciscitari de meo vis pectore,*
Non si cremes me, aut dente si ferri aspero
Seces ad imos vertice à summo pedes,
Non cuncta vincla si aggeras, intelliges.

❧ *O nate, sæpe bene polita oratio*
Est falsa: blandis interim verum dolis
Exsuperat: at non ideo res hæc optima est,
Sed indoles virtusque. qui lingua valet,
Doctum fatebor; sed tamen verbis ego
Res antehabendas & putaui & nunc puto.

❧ *Hoc in tot vna rebus humanis habet*
Virtus, quod extrà præmium non accipit,
Dignum laboris ipsa sed pretium sui est.

❧ *Pro parte magna corpori seruit labor:*
Huius repertum gratia struere est domum,
Conserere terram, fodere opes argenteas,
Et quæ tot alijs vocibus distinguimus.

❧ *Nihil infamia*
Grauius perurit pectus ingenuum viri:
Ea me calamitas terret, & penitus fibris
Adacta miserum versat ex imo lues,
Stimulisque mentem durus exagitat furor.

❧ *Currere nunquam fessa perenni*
Flumine velox labitur ætas,

Ὅταν γὰρ ὀργὴ δαιμόνων βλάπτῃ τινά,
τούτῳ τὸ πρῶτον ἐξαφαιρεῖται φρενῶν
τὸν νοῦν τὸν ἐσθλόν· εἰς δὲ τὴν χείρω τρέπει
γνώμην, ἵν' εἰδῇ μηδὲν ὧν ἁμαρτάνει.

Ὅταν δ' ὁ δαίμων ἀνδρὶ πορσύνῃ κακά,
τὸν νοῦν ἔβλαψε πρῶτον ᾧ βουλεύεται.

Τολμῶ κατειπεῖν, μήποτ' οὐκ εἰσὶν θεοί·
κακοὶ γὰρ εὐτυχοῦντες ἐπιπλήττουσί με.

Ἃ δ' ἐκπυθέσθαι τῆς ἐμῆς χρῄζεις φρενός,
οὔτ' ἂν καταίθων, οὔτε χειρὸς ἐξ ἄκρου
δεσμοῖς καθεὶς περόνας εἰς ἄκρους πόδας
πύθοις ἄν, οὐδ' εἰ δεσμὰ πάντα προσβάλοις.

Ὦ παῖ, γένοιντ' ἂν καὶ λεγόμενοι εὖ λόγοι
ψευδεῖς· ἐπῶν δὲ κάλλεσιν νικᾷ ἂν
τἀληθές. ἀλλ' οὐ τοῦτο τἀκριβέστατον,
ἀλλ' ἡ φύσις καὶ τοὔρθόν· ὃς δ' εὐγλωσσίαν
ἀσκεῖ, σοφὸς μέν, ἀλλ' ἐγὼ τὰ πράγματα
κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.

Ὅθ' οὕνεκ' ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη
οὐκ ἐκ θυραίων τἀπίχειρα λαμβάνει,
αὐτὴ δ' ἑαυτὴν ἆθλα τῶν πόνων ἔχει.

Τοῦ σώματος γὰρ οὕνεχ' οἱ πολλοὶ πόνοι·
τοῦ δ' εἵνεκ' οἶκον στεγανὸν ἐξευρήκαμεν,
λευκόν τ' ὀρύττειν ἄργυρον, σπείρειν τε γῆν·
τά τ' ἄλλ' ὅσ' ἡμεῖς ὀνόμασιν γινώσκομεν.

Πῆμα δ' οὐδὲν ἐλευθέρου
ψυχὴν ἔδακνεν, ἀνδρὸς ὡς ἀτιμία·
οὕτως πέπονθα, καί με συμφερθεῖσ' ἀεὶ
βαθεῖα κηλὶς ἐκ βυθῶν ἀναστρέφει,
λύσσης πικροῖς κέντροισιν ἠρεθισμένον.

Ἀκάμας τε χρόνος περί γ' ἀενάῳ
ῥεύματι πλήρης φοιτᾷ, τίκτων

Seque ipsa perit. tum custodes
Atlantei verticis Vrsæ
Quatiunt rapidis motibus alas.

Aliena male iudicamus.

❧ *Tuus ergo natis flendus amissis pater:*
At non & Oeneus, inclytus cui filius
Periit, nec ille tam suus, quam Græciæ?

❧ *Quod oportet, id ne tale sit, nequit effici.*

Improbi hominis descriptio.

❧ *Odio tibi sum: facile at hoc odium fero:*
Mihi quippe lucro cedit etiam infamia.

❧ *Miserum, quod hominum corpora impauido impetu*
Insultat auida musca sanguineæ dapis,
At hostis hastam vir, & is armatus, timet.

❧ *Miserum quod eadem sæpe res hominum his placet,*
Illis in odio est.

Voluntaria obiicienda, non fortuita.

❧ ALCM. *Tu frater illi es quæ virum occidit suum.*
ADR. *At tu interemtor ipse genitricis tuæ.*

Infantia.

❧ *In prato residens puer*
Nunc hunc, nunc alium cupit
Florem carpere: gaudio
Mens perfunditur: innocens
Expleri studium nequit.

❧ *Vbi ille quondam fastus, vbi nunc Lydiæ.*
Dominator ingens Crœsus, & Xerxes graue
Qui ratibus æquor iunxit Hellespontium?
Abripuit omnes Orcus ad Lethes domum.

❧ *Nullus profecto mortuos tangit dolor.*

❧ *Non horreo vmbras: Mors enim auxilio est mihi.*

❧ *Sese trocho versante nunc hic annulus*
Parte in superna est, nunc locum hunc alter tenet.

❧ *Non vlla tanti sit tibi felicitas,*
Vt plusquam oportet spiritus tollat tuos:
Nec triste siquid accidit, te deiice:

αὐτὸς ἑαυτόν· δίδυμοι δ' ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν Ἀτλάντειον τηροῦσι πόλον.

Καὶ σὸς μὲν οἶκος παῖδας ἀπολέσας πατὴρ,
Οἰνεὺς δ' ἄρ' οὐχὶ, ἀπολέσας τὸν Ἑλλάδος
κλεινὸν γόνον;

Τό τοι χρεὼν οὐκ ἔστι μὴ χρεὼν ποιεῖν.

Μισεῖς· ἐγὼ δὲ ῥαδίως μισήσομαι
πρὸς κέρδος ἕλκων τὴν ἐμὴν ἀτιμίαν.

Δεινόν γε τὴν μὲν μυῖαν ἀλκίμῳ θράσει
πηδᾶν ἐπ' ἀνδρῶν σώματ', ὡς πλησθῇ φόνου,
ἄνδρας δ' ὁπλίτας πολέμιον ταρβεῖν δόρυ.

Δεινόν γε τοὐτὸν τοῖς μὲν ἀνδάνειν βροτῶν,
τοῖς δ' ἐχθρὸς εἶναι.

Ἀλκ. Ἀνδροκτόνου γυναικὸς ὁμογενὴς ἔφυς.
Ἀδρ. Σὺ δ' αὐτόχειρ γε μητρὸς ἥ σ' ἐγείνατο.

Εἰς τὸν λειμῶνα καθίσας
ἔδρεπεν ἕτερον ἐφ' ἕτερον
ἱέμενος ἄγρευμ' ἀνθέων, ἀδομένᾳ
ψυχᾷ, τὸ νήπιον ἄπληστον ἔχων.

Ποῦ γὰρ τὰ σεμνὰ κεῖνα, ποῦ δὲ Λυδίας
μέγας δυνάστης Κροῖσος, ἢ Ξέρξης βαρὺν
ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας;
ἅπαντες Ἅιδην ἦλθον εἰς λήθης δόμους.

Ἄλγος γὰρ οὕτως οὐδὲν ἅπτεται νεκροῦ.

Ἀδίκῳ δ' ἔχων βοηθὸν, οὐ τρέμω σκιάς.

Τροχοῦ περιστείχοντος ἄλλοθ' ἡ 'τέρα,
ἁψὶς ὕπερθε γίνεθ', ἄλλοθ' ἡ 'τέρα.

Μηδ' εὐτύχημα μηδὲν ὧδ' ἔστω μέγα,
ὅ σ' ἐξεπαίρῃ μεῖζον ἢ χρεὼν φρονεῖν·
μηδ' ἄν τι συμβῇ δυσχερὲς, δουλοῦ πάλιν·

Sed præsta eundem semper: ingenij tui
Serua tenorem velut in igne aurum solet.
❧ *Noxius tibi, non Deus,*
Sed ipse tumet.
❧ *Dant somnum Dei,*
Obliuionem tristium.
❧ *Viroque feminæque summa est calamitas,*
In seruitutem cadere sub miseris heris.
❧ *Fatale nanque hoc genere in humano, mala*
Consilia fructus vt simul pariant malos.
❧ *Felicitas nanque hominis hac in re sita est,*
Si mentis eiaculata quà voluit cadant.
❧ *Proh dolor, vt illud cælitus missum malum est,*
Cum quis videt meliora, nec sequitur tamen.
❧ *Formidini sunt res Deûm sapientibus.*
❧ *Tun' generis altum lumen extinguens trahis*
Hic pensa, genitus optimo Graiûm patre?
❧ *Semper propago est fœda quam gignit metus.*
❧ *Iacta sit summa alea.*
❧ *Omnia nec exspectata cœperunt semel.*
❧ *Magno æstimandum te hominibus genuit pater.*
❧ *Nunquam bene alijs facere sit nobis graue.*
❧ *Si solis astrum aspiceret, auratis fera* Alijs alius.
Radijs micabat: nubibus se obuerteret,
Cærulea, reddit quale cœlo Iris iubar.
❧ *Populus inconstans malum,*
Et mari persimile ventis hũc & illuc truditur,
Nunc serenus subito, subitis nunc tumescens flatibus:
Sorbet idem facile ciuem, siqua datur occasio.
❧ *Pulchrum recondi dulcibus terræ cauis.*
❧ *Teneas cruoris moneo sitientem manum.*
❧ *Non splendor auri, difficili infrequens*

ἀλλ' αὐ-

ἀλλ' αὐτὸς αἰεὶ μίμνε, τὴν σαυτοῦ φύσιν
σώζων βεβαίως, ὥστε χρυσὸς ἐν πυρί.

ἄλλο. Πῆμά σοι δ' οὐδὲν θεός,
ἀλλ' αὐτὸς αὑτῷ.

ἄλλο. Τὸν γὰρ ὕπνον οἱ θεοὶ
λήθην κακῶν ἔδωκαν.

ἄλλο. Δεινή τις αἰδεῖ καὶ γυναικὶ συμφορά,
δούλοις γενέσθαι, δεσπότας τε δυστυχεῖς λαβεῖν.

ἄλλο. Εἱμαρμένον γὰρ τῶν κακῶν βουλευμάτων
κακὰς ἀμοιβὰς ἐστὶ καρποῦσθαι βροτοῖς.

ἄλλο. Τόδ' ἐστὶ τὸ ζηλωτὸν ἀνθρώποις ὅτῳ
τόξον μερίμνης εἰς ὃ βούλεται πέσῃ.

ἄλλο. Αἲ αἴ, τόδ' ἤδη θεῖον ἀνθρώποις κακὸν,
ὅταν τις εἰδῇ τἀγαθὸν, δράσῃ δὲ μή.

ἄλλο. Φέβος τὰ θεῖα τοῖσι σώφροσι βροτῶν.

ἄλλο. Σὺ δ' ὦ τὸ λαμπρὸν φῶς ἀποσβεννὺς γένους,
ξανθῆς ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;

ἄλλο. Τῆς δειλίας γὰρ αἰσχρὰ γίνεται τέκνα.

ἄλλο. Πᾶς ἀνερρίφθω κύβος.

ἄλλο. Ἅπαντα τ' ἀδόκητα πρῶτον ἦλθ' ἅπαξ.

ἄλλο. Πολλούς σε θνητοῖς ἄξιον τίκτει πατήρ.

ἄλλο. Μηδέποτε παυσαίμεσθα δρῶντες εὖ βροτούς.

ἄλλο. Εἰ μὲν πρὸς αὐγὰς ἡλίου, χρυσωπὸν ἦν
φώτισμα θηρὸς· εἰ δὲ πρὸς νέφη βάλοι,
κυανωπὸν, ὥστις ἶρις ἀντηυγεῖ σέλας.

ἄλλο. Δῆμος ἄστατον κακὸν,
καὶ θαλάσσῃ πάνθ' ὅμοιον, ὑπ' ἀνέμου ῥιπίζεται,
καὶ γαληνὸς ἐν τάχει, καὶ πνεύμασι ταχὺ κορύσσεται,
κἄν τις αἰτία γένηται τὸν πολίτην κατέπιεν.

ἄλλο. Ἐν γῆς φίλοις μυχοῖσι κρυφθῆναι καλόν.

ἄλλο. Ἴσχε κελεύω χεῖρα διψῶσαν φόνου.

ἄλλο. Οὐ χρυσὸς ἀγλαὸς σπανιώτατος

Mortalium æuo copia, non ita
Aut lectus argento refulgens,
Aut adamas ferit ora visu,
Aut læta sulcis parturientibus
Late patentis fertilitas soli,
Virtute iunctorum vt virorum
Vnanimis parilisque sensus.

❧ *Virtus vbi quis interit, non interit.*

❧ *Tam ciuitati quam domo sit inutilis,*
Pariterque amicis & sibi obscurus perit,
Vt dulce subijt quis voluptatis iugum.

❧ *Fratrum dirissima bella.*

❧ *Amare nimium qui solent, îdem solent*
Odisse *nimium.*

❧ *Quia, nate, non dominare, lædi existimas.*

❧ *Valete vana, nîl eratis, somnia.*

❧ *Ego esse vera & recta quæ memoras scio:*
Sed improbata cogis ingenium sequi.

Mon. ❧ *Heu quam seueri pectoris visis Deum,*
Qui gratiæ largitur aut æquo nihil,
Sed iure summo semper & vbique vtitur.

❧ A. *Absque genitrice non potest proles pari.*
B. *Absque genitore non potest vel concipi.*

❧ *Nîl distat odio amoris importunitas.*

❧ *Nanque id genus res Iuppiter mortalium*
Curat: minora cæteris linquit Deis.

❧ *Ah ne me acerbam perime: conspicere hunc diem*
Dulce est. videre ne adige quæ tellus tegit.

❧ A. *Nam quid Deos te colere moriturum iuuat?*
B. *At satius hoc est. nullus est pietas labor.*

❧ *Quis sapere plus te speret, ô rex Iuppiter?*

❧ *Ah misera virtus, vox eras: ego te interim*

ἐν θνατῶν δυσελπίστῳ βίῳ,
οὐδ' ἀδάμας, οὐδ' ἀργύρου κλίναι
ἀνθρώπων δοκιμαζόμεν' ἀστράπτει πρὸς ὄψεις,
οὐδὲ γαίας εὐρυπέδου γόνιμοι
βρίθοντες αὐτάρκεις γύαι,
ὡς ἀγαθῶν ἀνδρῶν ὁμοφράδμων νόησις.

ἄλλ. Ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται.

ἄλλ. Ἀργὸς μὲν οἴκοις καὶ πόλει γενήσεται·
φίλοισι δ' οὐδείς, ἀλλ' ἄφαντος οἴχεται,
ὅταν γλυκείας ἡδονῆς ἥσσων τις ᾖ.

ἄλλ. Χαλεποὶ πόλεμοι γὰρ ἀδελφῶν.

ἄλλ. Οἱ γὰρ πέρα στέρξαντες, οἱ δὲ καὶ πέρα
μισοῦσι.

ἄλλ. Ὅτι μὴ τυραννεῖς, τέκνον, ἀδικεῖσθαι δοκεῖς;

ἄλλ. Ψευδεῖς ὄνειροι χαίρετ'· οὐδὲν ἦτ' ἄρα.

ἄλλ. Λέληθεν οὐδὲν τῶνδέ μ', ὧν σὺ νουθετεῖς·
γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται.

ἄλλ. Πρὸς δ' οἷ' ἥξεις δαίμον' ὡς ἀγηρότα·
ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν
ᾔδει, μόνον δ' ἔστεργε τὴν ἁπλῶς δίκην;

ἄλλ. Α. Ἄνευ δὲ μητρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.
Β. Ἄνευ δὲ πατρὸς οὐδὲ συλλαβὴ τέκνου.

ἄλλ. Ἄκαιρος εὔνοι' οὐδὲν ἔχθρας διαφέρει.

ἄλλ. Ζεὺς γὰρ τὰ μὲν τοιαῦτα φροντίζει βροτῶν,
τὰ μικρὰ δ' ἄλλοις δαίμοσιν παρεὶς ἐᾷ.

ἄλλ. Μή μ' ἀπολέσῃς ἄωρον· ἡδὺ γὰρ τὸ φῶς
λεύσσειν· τὰ δ' ὑπὸ γῆν μή μ' ἰδεῖν ἀναγκάσῃς.

ἄλλ. Α. Τί δεῖ θεοὺς σέβειν σε κατθανούμενον;
Β. Ἄμεινον· οὐδεὶς κάματος εὖ σέβειν θεούς.

ἄλλ. Ὦ Ζεῦ, τίς εἶναι φησὶ σοῦ σοφώτερος;

ἄλλ. Ὦ τλῆμον ἀρετή, λόγος ἄρ' ἦσθ'· ἐγὼ δέ σε

Pro re colebam, domina cùm tibi fors foret.

⁂ *Ego liberos amo nempe, ſed patriam magis.*

⁂ *Laxare pedem*
Opus eſt, vbi vis ingruit vndæ.

Ira. ⁂ *Commotus animus non ita æſtum ſuſtinet,*
Mordens arenam curuus vt dens anchoræ.

⁂ *O quam cupiſcis, dextera, haſtam ſumere?*
Sed quod cupiſcis corpus infirmum negat.

⁂ *Qui quippiam vult agere, par hunc & pati eſt.*

ὡς ἔργον ᾔσχυνον· σὺ δ' ἄρ' ἐδούλευες τύχῃ.

ἐξ Φιλῶ τέκν', ἀλλὰ πατρίδ' ἐμὴν μᾶλλον φιλῶ.

ἐξ Μικρὸν δὲ ποδὸς

χαλάσαι μεγάλη κύματος ἀλκή.

ἐξ Ἔχει γὰρ ἤδη θυμὸς ὢν οὐκ εὐτελής,

θινῶδες ὡς ἄγκιστρον ἀγκύρας σάλον.

ἐξ Ὦ δεξιὰ χείρ· ὡς ποθεῖς λαβὼν δόρυ;

ἐν δ' ἀσθενείᾳ τὸν πόθον διώλεσας.

ἐξ Τῷ γάρ τι δρῶντι καὶ παθεῖν ὀφείλεται.

EXCERPTA EX COMOEDIIS.

EPICHARMI

PERFVGA. St. Fl. 221.

BVSIRIDE.

Voracitas.

EDentem si ipsum videas, visu interbites:
Ita fauces intus fremitant, ita malæ strepunt,
Stridet molaris dens, caninus concrepat:
Motantur aures, edunt nares sibilum.

SPE SIVE DIVITIIS.

Vita parasitica.

COenanti sum conuiua, dum tantum vocer,
At nuptias facienti, quamuis non vocer:
Ibi ego sum lepidus, risus multum suscito,
Conuiuatorem attollo miris laudibus:
At illi contra siquis ausit dicere,

ΕΚΛΟΓΑΙ
ΕΚ ΚΩΜΩΙΔΙΩΝ.

ΕΠΙΧΑΡΜΟΥ
ΑΥΤΟΜΟΛΩΙ.

ΒΟΥΣΙΡΙΔΙ.

Πρᾶτον μὲν αἴκ' ἔσθοντ' ἴδῃς νιν, ἀποθάνοις·
βρέμει μὲν ὁ φάρυγξ ἔνδοθ', ἀραβεῖ δ' ἁ γνάθος,
ψοφεῖ δ' ὁ γομφίος, ὁ δὲ κυνόδων τέτριγε,
σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα.

ΕΛΠΙΔΙ, ἢ ΠΛΟΥΤΩΙ.

Συνδειπνέω τῷ λῶντι, καλέσαι δεῖ μόνον,
καὶ τῷ γαμηλιῶντι, κ' οὐδὲν δεῖ καλεῖν·
τηνικάδε χαρίεις τ' εἰμὶ καὶ ποιέω πολλὺν
γέλωτα καὶ τὸν ἑστιῶντ' ἐπαινέω·
κἄν τις ἀντίον τι λῇ τήνῳ λέγειν,

Hunc hostem mihi desumo, hunc peto conuitijs
Postremo bene cibatus, nec potus male
Discedo. non puer vllus allucet facem,
Sed casabundus nigris tenebris obsitus
Prorepo. tum si forte in vigiles incidam,
Bona verba facio tanquam Dîs, vt maueline
Me flagris exercere quam contundere.
Ita domum vt ventum est nîl mutilato corpore
In pelles sternor, intio non dormiens,
Donec meri vis omnem sensum extinxerit.

HEBES NVPTIIS.

Historia animalium.

ADsunt cancer atque echinus, per maris salsas vias
Nare ignari qui pedestre soli conficiunt iter.

HERCVLE DELIRANTE.

HÆc ego ex necessitate facio quæ facio omnia:
Quippe vt credo nemo sponte est calamitosus ac miser.

VLYSSE PERFVGA. St. Fl. 221.

τήνῳ κυδάζομαί τε καὶ ποτέχθομαι·
κἤπειτα πολλὰ καταφαγὼν, πόλλ' ἐμπιὼν
ἄπειμι· λύχνον δ' οὐχ ὁ παῖς μοι συμφέρει·
ἕρπω δ' ὀλισθανέων τε καὶ κατάσκοτος
ἔρημος· αἴκα δ' ἐντύχω τοῖς περιπόλοις,
τούτοις ἀγαθὸν λέγω τι τοῖς θεοῖς, ὅτι
οὐ λῶντι παῖσαι, ἀλλὰ μαστιγοῦντί με.
ἐπεὶ δέ γ' ἥκω οἴκαδ' εἰς τὰς διφθέρας
ἄστρωτος εὕδω· καὶ τὰ μὲν πρᾶτ' οὐ κόω
ἕως κά μοι ἄκρατος ἀμφέπῃ φρένας.

ΗΒΗΣ ΓΑΜΩι.

Καρκίνος θ' ἵκει κ' ἐχῖνος, τοὶ καθ' ἁμμυεῖν ἄλα
ἐν μὲν οὐκ ἴσαντι, πεζᾷ δ' ἐμπορεύονται μόνοι.

ΗΡΑΚΛΕΙ ΠΑΡΑΦΟΡΩι.

Ἀλλὰ μὰν ἐγὼν ἀναγκαίως τάδε πάντα ποιέω·
οἴμαι δ' ὡς οὐδεὶς ἑκὼν πονηρὸς οὐδ' ἄταν ἔχων.

ΟΔΥΣΣΕΙ ΑΥΤΟΜΟΛΩι.

REPVBLICA.

Ratio.

Omnis in ratione & numero vita stat mortalium,
Viuimus ratione ac numero: bina hæc homines sospitant.
Ratio mortales gubernat: ratio mores continet.
Est humana ratio: hanc præter est & diuina altera:
Ratio humana circa vitam & victum semet occupat.
At diuina ratio est artis opifex & comes omnibus,
Edocens ipsos quid vsus maxime facto siet.
Quippe homo non reperit artem, sed dat hanc auctor Deus:
Ipsaque illa humana ratio nata est ratione ex Dei.

PROMETHEO IGNIFERO.

Debentes multi, nemo qui faciat satis.

TROIANIS.

Ligno ex quolibet
Columna fiat.

ΠΟΛΙΤΕΙΑι.

Ὁ Βίος ἀνθρώποις λογισμοῦ καὶ ἀριθμοῦ δεῖται μόνον·
ζῶμεν ἀριθμῷ καὶ λογισμῷ· ταῦτα γὰρ σώζει βροτούς.

Ὁ λόγος ἀνθρώπους κυβερνᾷ καὶ τρόπον σώζει μόνος.

Ἐστιν ἀνθρώπῳ λογισμὸς, ἔστι καὶ θεῖος λόγος·
ὁ λόγος ἀνθρώπῳ πέφυκε περὶ βίον καὶ τὰς τροφάς·
ὁ δέ γε τᾶς τέχνας ἃ πᾶσι συνέπεται θεῖος λόγος,
ἐκδιδάσκων αἰὲν αὐτοὺς, ὅ,τι ποιεῖν δεῖ συμφέρον·
οὐ γὰρ ἄνθρωπος τέχναν εὗρ', ὁ δὲ θεὸς ταύταν φέρει·
ὁ δέ γε τἀνθρώπου λόγος πέφυκ' ἀπὸ τοῦ θείου λόγου.

ΠΡΟΜΗΘΕΙ ΠΥΡΚΑΕΙ.

Πολλοὶ σατῆρες, ἀποδοτῆρες δ' οὐδ' ἂν εἷς.

ΤΡΩΣΙ.

Ἐκ παντὸς ξύλου
κίων γλύπται.

PHILOCTETE.

Non fiet dithyrambus si potes aquam.

INCERTA. ST. FL. 7. 25. 33. 69. 103. ter. 125. 131. 147. 151. 281. 353. illud ἀπολὶς iuxta quosdam libros. 357. 365.

Instinctus naturæ.

Eumæe, generi sapere non uni datum est:
Sed quicquid animâ, mente simul est præditũ.
Gallorum vxores volucrium considera:
Non illæ partus edunt vitæ compotes,
Sed ouis incubantes animam adfabricant:
Et huius norunt principem sapientiæ
Naturam solam, quæ magistra ipsis fuit.

Non eloquens hic, sed tacendi est impotens.

Tanquam sis diu victurus, tanquam non, ita cogita.

Mentem si habeas puram, purus eris & toto corpore.

Imbellis monstrat primo audaciam:
Deinde in fugam se vertit.

Domitor rerum,
Quique leonis vi floret Amor.

Mirandum non est, ista me sic dicere:
Atque ipsos sibi placere & ingenio optimo
Factos videri: quandoquidem canis cani
Pulcherrimum videtur, bos itidem boui,
Et asinus asino, sus sui pulcherrimum.

ΦΙΛΟΚΤΗΤΗι.

Ουκ ἔσι διθύραμβος ἄχ' ὕδωρ πίνης.

ΑΔΗΛΩι.

Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον,
ἀλλ' ὅσσα περ ζῇ πάντα καὶ γνώμαν ἔχει·
καὶ γὰρ τὸ θῆλυ τᾶν ἀλεκτορίδων γένος,
αἰ λῇς καταμαθεῖν ἀτενές, οὐ τίκτει τέκνα
ζῶντ', ἀλλ' ἐπώζει καὶ ποιεῖ ψυχὰν ἔχειν.
τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει
μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

Δεινὸς λέγειν οὐκ, ἀλλὰ σιγᾶν ἀδύνατος.

Ὡς πολὺν ζήσων χρόνον χ' ὡς ὀλίγον, οὕτω διανοοῦ.

Καθαρὸν ἂν τὸν νοῦν ἔχῃς, ἅπαν τὸ σῶμα καθαρὸς εἶ.

Θαρρεῖ μὲν κακὸς μάλ' αὐτόθεν,
ἔπειτα δὲ φεύγει.

Δαμάστης ἔρως
λεοντείᾳ δυνάμει θαλερός.

Θαυμαστὸν οὐδέν ἐστί με τάδ' οὕτω λέγειν·
καὶ ἁνδάνειν αὐτοῖσιν αὐτούς, καὶ δοκεῖν
καλῶς πεφυκέναι, εἰ καὶ ἁ κύων κυνὶ
κάλλιστον ἦμεν φαίνεται, καὶ βοῦς βοΐ,
ὄνος δ' ὄνῳ κάλλιστον, ὗς δὲ τῇ ὑΐ.

❧ *Hæc hominũ natura est, vtres sunt turgentes flatibus.*

❧ *Vt reor, imo vt constat adeò plane pro certo mihi,*
Clara erit quondam meorum præceptorum memoria:
Quæque carminibus profata nobis, alius vestiens
Pulchro amictu purpuraque, dictis variegantibus,
Ipse inuictus alios facile reddet expugnabiles.

❧ *Nempe Dî semper fuerunt, atque nunquam intercident:*
Hæc quæ dico semper nobis rebus in iisdem se exhibent.
Exstitisse sed Deorum primum perhibetur chaos:
Quînam vero? nam de nihilo nîl pote primum existere.
Ergo nec primum profecto quicquam, nec fuit alterum:
Sed quæ nunc sic appellantur, alia fient postmodum.
Sume numerum, quemquẽ libeat, vel parem, vel imparem:
Si quem huic cupias aggregare calculum aut subducere,
An tibi hic idem videtur? non mihi vero quidem.
Sic & aliquid ad cubitalem si addas magnitudinem,
Aut si contra demas, eadem iam mensura non erit:
Quia non sic habebat ante. pariter nunc considera
Homines: horum videas illum crescere, hunc decrescere.
Quotquot sunt, mutationi tempore omni subiacent:
Et naturam quisque variat, vno nec manet in statu:
Atque idem est & rursus aliud illi quod nunc transiit:
Ipse heri, tuque aliud fuimus, aliud sumus hoc tempore,
Iterumque alij: nunquam eidem sumus, vt ratio prædicat.

Physiologia.

Abstracta & concreta.

❧ A. *Tibicinalis ars, res ne aliqua est?* B. *Quippeni?*
A. *Tibicinalis hæc ars, an homo est?* B. *Neutiquam.*
A. *Videamus. ipsum quid putas tibicinem?*
B. *Hominem: num rectè?* A. *Rectè. nonne existimas*
Rem sese habere pariter etiam de bono,
Nempe vt bonum ipsum res sit: at siquis bonum
Istud didicerit, is iam dicatur bonus?
Nam sic tibicen est qui didicit tibijs;

Αὕτα ἀνθρώπων φύσις· ἀσκοὶ εἰσί τε πεφυσημένοι.

Ὡς ἐγὼ δοκέω (δοκεῖ γὰρ τοῦτο καὶ σαφὲς ἀμμὶ) ὅτι
τῶν ἐμῶν μνάμα ποκ' ἐσσεῖται λόγων τούτων ἔτι·
καὶ λαβών τις αὐτὰ, περιδύσας τὸ μέτρον ὃ νῦν ἔχει,
εἷμα δοὺς καὶ πορφύραν, λόγοισι ποικίλας καλοῖς,
δυσπάλαιστος ὢν τοὺς ἄλλους εὐπαλαίστους ἀποφανεῖ.

Ἀλλ' ἀεὶ τοὶ θεοὶ παρῆσαν, ὑπέλιπον δ' οὐ πώποκα·
τάδε δ' ἀεὶ πάρεσθ' ὅμοια, διά τε τῶν αὐτῶν ἀεί.
ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
πῶς δή; ἀμάχανόν γ' ἀπὸ μηδένος ὅ,τι πρᾶτον μόλοι.
οὐκ ἄρ' ἔμολε πρᾶτον οὐδὲν, οὐδὲ μὰ Δία δεύτερον,
τῶν δέ γ' ὧν ἄμμες νῦν λέγομεν ὧδ' εἶμεν μὲν τάδε.
ποτὶ ἀριθμὸν τὸν περισσὸν, αἰ δὲ λῇς τὸν ἄρτιον,
ποτθέμεν λῇς ψῆφον, ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν;
ἦ δοκεῖ κά τοι καὶ ὁ αὐτὸς εἶμεν; οὐκ ἐμὶν τάχα·
οὐδὲ μὰν οὐδ' αἰ ποτὶ μέτρον παχυαῖον καὶ θέμεν
λῇ τις ἕτερον μῆκος, ἢ τοῦ πρόσθ' ἐόντος ἀποταμεῖν,
ἔτι χ' ὑπάρχοι κῆνο τὸ μέτρον· οὐ γὰρ ὧδε· νῦν ὅρη
καὶ τὼς ἀνθρώπως· ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει·
ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον·
ὃ δὲ μεταλλάσσει κατὰ φύσιν, κοὔποκ' ἐν ταυτῷ μένει·
ἀλλὰ δὴ ἕτερον εἴη καὐτὸ τοῦ παρεξεστηκότος·
καὶ τὺ δὴ κἀγὼ χθὲς ἄλλοι· καὶ νῦν ἄλλοι τελέθομες,
καὖθις ἄλλοι, κοὔποκ' αὐτοὶ τελέθομες κατὰ τὸν λόγον.

Α. Ἆρ' ἐστὶν αὔλησίς τι πρᾶγμα. Β. Πάνυ μὲν οὖν.
Α. Ἄνθρωπος οὖν αὔλησις ἐστίν; Β. Οὐδαμῶς.
Α. Φέρ' ἴδω· τί δ' αὐλητάς, τίς εἶμεν τοι δοκεῖ;
Β. Ἄνθρωπος· ἢ οὐ γάρ; Α. Πάνυ μὲν οὖν. οὐκῶν δοκεῖς
οὕτως ἔχειν καὶ περὶ τῶ ἀγαθῶ· καὶ τὸ μὲν
ἀγαθὸν τόδε πρᾶγμ' εἶμεν αὐθ'· ὅστις δέ κα
εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ἤδη γίνεται;
ὥσπερ γάρ ἐστ' αὔλησιν αὐλητὰς μαθὼν,

Saltator qui saltare, tum qui texere
Textor, similiter qui aliud quicquid volueris:
Ars ipse non est scilicet, sed artifex.

Tautologia. ❧ Nẽpe ego tunc eram inter illos, tunc ego apud illos eram.

❧ Nequam, mollia ne sectare, ne tu dura reperias.

❧ Ex calumnia maledictum nascitur, inde prælium.

❧ Mori vel mortuum esse, nîl differt mihi.

❧ A. Ex sacro conuiuium,
Ex conuiuio potatio nata est. B. Factum gaudeo.
A. Ex potatione lusus, ex lusu bacchatio,
Ex bacchatione lis, ex lite condemnatio,
E damnatione mulcta, vincla, sideratio.

Catachresis. ❧ A. Hoc quid est? B. Tripus, ni fallor. A. Quomodo? non habet pedes
Quattuor. B. Tripus non ergo est, verum potius quadripes.
A. Imo tripodis nomẽ illi est, quattuor cùm habeat pedes.
Oedipus quondam fuisti: nunc non capis ænigmata?

❧ Cucurbita ipsa multo hoc est salubrius.

❧ Ante hunc dicta quæ duobus, ad certamen sunt satis.

❧ Cùm potiores adsunt, melius est tacere quam loqui.

❧ Metus vbi est, ibidem est & pudor.

❧ Res nulla est Deum quæ lateat, scire quod te conuenit:
Ipse est noster introspector: tum Deus nîl non potest.

❧ Homo iniustificus, animo desultorio.

❧ Si tibi mens sancta fuerit, nîl feres moriens mali:
Semper in cœlo beatus permanebit spiritus.

❧ Sponsio furiæ, iactura sponsionis filia est.

Prodigus. ❧ Non benignus es vocandus, morbũ habes, gaudes dare.

❧ Consilium res est sacra.

❧ Vix prolatum est, neque te habere recte, apparet illico.

ὄρχησιν ὀρχηστάς τις, ἢ πλοκεὺς πλοκάν,
ἢ πᾶν γ' ὁμοίως τῶν τοιούτων ὅ, τι τὺ λῇς·
οὐκ αὐτὸς εἴη κα τέχνα· τεχνικός γα μάν.

Τόκα μὲν ἐν τήνοις ἐγὼν ἦν, τόκα δὲ παρὰ τήνοις ἐγών.

Ὦ πονηρὲ, μὴ τὺ μαλακὰ μώεο, μὴ τὰ σκλήρ' ἔχῃς.

Ἐκ διαβολῆς ἡ λοιδορία, ἐκ δὲ ταύτης ἡ μάχη.

Ἀποθανεῖν ἢ τεθνάναι οὔ μοι διαφέρει.

A. Ἐκ μὲν θυσίας
θοίνη, ἐκ δὲ θοίνης πόσις ἐγένετο. B. Χαρίεν ὥς γέ μοι.
A. Ἐκ πόσιος δὲ κῶμος, ἐκ κώμου δ' ἐγένετο θυανία·
ἐκ δὲ θυανίας δίκη 'γένετ', ἐκ δίκης δὲ καταδίκη,
ἐκ δὲ καταδίκης πέδαι τε καὶ σφάκελοι καὶ ζημία.

A. Τί δὲ τοῦτ' ἐστί; B. Δηλαδὴ τρίπους. A. Τί μάν; πόδας οὐκ ἔχει
τέτορας. B. Οὐκ ἔστι τρίπους δῖυ, ἀλλά γ' οἶμαι τετράπους.
A. Ἔστι δ' ὄνομ' αὐτῷ τρίπους. τέτοράς γε μὰν ἔχει πόδας·
Οἰδίπους τοίνυν ποτ' ἦσθα, κ' οὐ νοεῖς αἰνίγματα;

Ὑγιέστερον τὴν 'στὶ κολοκύντας πολύ.

Τὰ πρὸ τοῦ δύ' ἄνδρες ἔλεγον, εἷς ἀγὼν ἀποχρέω.

Ἀλλὰ σιγῆν ἀγαθὸν ὄκκα καὶ παρέοντι κάρρονες.

Ἔνθα δέος ἐνταῦθα κ' αἰδώς.

Οὐδὲν ἐκφεύγει τὸ θεῖον, τοῦτο γινώσκειν σε δεῖ·
αὐτός ἐσθ' ἁμῶν ἐπόπτας· ἀδυνατεῖ δ' οὐδὲν θεῷ.

Ἀλλοπρόσαλλος οὗτος ἤδη ἀνάρσιος.

Εὐσεβὴς τὸν νόον πεφυκὼς, οὐ πάθοις γ' οὐδὲν κακὸν
κατθανών· ἄνω τὸ πνεῦμα διαμενεῖ κατ' οὐρανόν.

Ἐγγύα θυγάτηρ μὲν ἄτας, ἐγγύας δὲ ζημία.

Οὐ φιλάνθρωπος σὺ γ' ἐσσὶ, νόσον ἔχεις, χαίρεις διδούς.

Ἱερὸν δὲ συμβουλή 'στιν.

Ἄρτι γὰρ λέγεται καὶ εὐθὺς φαίνεται οὐ καλῶς ἔχον.

PLATONIS

HOMICIDA.

Fas est uxore cum formosa accumbere,
Duasque haurire Lesbij vini amphoras.
Nimirum hoc sapere recte est, hoc verum bonum.
Epicurus eadem dixit quæ nunc dictito.
Quod si omnes ego quam viuo vitam viuerent,
Iam nemo adulter esset, nemo iniurius.

DÆDALO.

Automata. A. *Heus quis tu? actutum fare: quid vero taces?*
M. *Mercurius ego sum, vocem à Dædalo obtinens,*
De ligno factus, sponte qui aduent mea.

GRAECIA, aut INSVLIS.

Nostræ scilicet
Similes sunt leges telis illis tenuibus,
Quas texit circa parietes aranea.

ΠΛΑΤΩΝΟΣ

ΑΝΔΡΟΦΟΝΩι.

ΕΞὸν γυναῖκ' ἔχοντα κατακεῖσθαι καλὴν,
καὶ Λεσβίου χυτρίδε λαμβάνειν δύο.
ὁ φρόνιμός ἐστι τοῦτο, τοῦτο τἀγαθόν.
Ἐπίκουρος ἔλεγε ταῦθ' ἃ νῦν ἐγὼ λέγω.
Εἰ τοῦτον ἔζων πάντες ὃν ἐγὼ ζῶ βίον,
οὔτ' ἄτοπος ἦν ἂν, οὔτε μοιχὸς οὐδείς.

ΔΑΙΔΑΛΩι.

Α. ΟΥτος τίς εἶ; λέγε ταχύ· τί σιγᾷς; οὐκ ἐρεῖς;
Ε. Ἑρμῆς ἔγωγε, Δαιδάλου φωνὴν
ἔχων
ξύλινος, βαδίζων δ' αὐτομάτως ἐλήλυθα.

ΕΛΛΑΔΙ, ἢ ΝΗΣΟΙΣ.

ΗΜῖν οἱ νόμοι
ἐοίκασι τούτοις τοῖς λεπτοῖς ἀραχνίοις,
ἃ 'ν τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνεται.

FESTO DIE.

PRofecto nullum nos quadrupedem occidere
Præter sues decebat: nam suauissima
Caro est suilla: & de sue nîl ad nos redit
Præter clamorem & cœnum & setas hispidas.

MENELAO.

Dij Gentium.

QVin te suspendis, heros ut Thebis sies?

CONDECIPIENTE.

A. *COrrupisti adolescentem commissum tibi,*
Scelesté, & vitam sectari alienam sibi
Persuasti. per te est quod iam potat de die,
A mane summo, non id solitus antidhac.

Epicureismus.

B. *Eon' me culpas, here, quod didicit viuere?*
Nanque, ut sapientes aiunt, istud viuere est.
Epicurus summum generis humani bonum
Voluptatem esse docuit. hanc apiscier
Aliunde non est: nanque qui viuant bene
Hi recte viuunt. nonne id concedes mihi?
A. *Vidistine igitur tu philosophum quempiam*
Vinosum atque istis se oblectantem moribus?

ΕΟΡΤΗ.

Τῶν γὰρ τετραπόδων οὐδὲν ἀποκτείνειν ἔδει
ἡμᾶς τὸ λοιπὸν πλὴν ὑῶν· τὰ γὰρ κρέα
ἥδιστ' ἔχουσι, κ' οὐδὲν ἀφ' ὑὸς γίγνεται,
πλὴν ὕστριχες καὶ πηλὸς ἡμῖν καὶ βοή.

ΜΕΝΕΛΕΩ.

Τι οὐκ ἀπήγξω ἵνα Θήβησ' ἥρως γένῃ;

ΣΥΝΕΞΑΓΑΤΩΝΤΙ.

Α. Ἀπολώλεκάς μου τόδε μειράκιον παραλαβών,
ἀκάθαρτε, καὶ πέπεικας ἐλθεῖν εἰς βίον
ἀλλότριον αὐτοῦ· καὶ πότους ἑωθινοὺς
πίνει διὰ σὲ νῦν, πρότερον οὐκ εἰθισμένον.
Β. Εἶτ' εἰ μεμάθηκε, δέσποτα, ζῆν ἐγκαλεῖς;
τῶν δ' ἰχθυοπωλῶν φιλοσοφώτερον γένος
οὐκ ἔστιν οὐδὲν οὐδὲ μᾶλλον ἀνόσιον.
ἐπεὶ γὰρ αὐτοῖς οὐκ ἔτ' ἔστ' ἐξουσία
ῥαίνειν, ἀπείρηται δὲ τοῦτο τῷ νόμῳ,
εἷς τις θεοῖσιν ἐχθρὸς ἄνθρωπος πάνυ
ξηραινομένους εἰσιδὼν τοὺς ἰχθῦς, μάχην
ἐποίησεν αὐτοῖς ἐξεπίτηδες οὐ πάνυ·
ἦσαν δὲ πληγαί· καιρίαν δ' εἰληφέναι
δόξας καταπίπτει, καὶ λιποψυχεῖν δοκῶν
ἔκειτο νεκρὸς οἷα μετὰ τῶν ἰχθύων.
βοᾷ τις ὕδωρ· ὁ δ' εὐθὺς ἐξάρας πρόχουν
τῶν ὁμοτέχνων τις, τοῦ μὲν ἄκρῃ παντελῶς
κατέχεε· κατὰ τῶν δ' ἰχθύων ἐπάνω ἅπαξ.
εἴποις τ' ἂν αὐτοὺς ἀρτίως ἡλωκέναι.

SOMNO.

FElices nonne ſunt cicadarum mares,
Uxores quorum nullum de ſe edunt ſonum?

DAMOXENI

COALVMNIS.

Phyſicæ vſus circa artem.

A. *SApientiſſimi*
Epicuri me genuinum diſcipulum vides.
Biennio atque menſibus haud totis decem
Talenta apud illum deglutiui quattuor.
B. *Quid eſt quod narras? dic, magiſter, te rogo,*
Coquus fuit ille? A. *Nempe id ignoras? coquus,*
Proh ſuperi, quantus? artium nempe omnium
Natura fons & origo eſt: naturâ, improbe,
Nihil ad res efficiendas eſt ſapientius.
Hinc facilis illi ars noſtra, cui percognita
Naturæ ratio. nanque id vſus maximi eſt.
Illiteratum proinde ſi videas coquum,

ΥΠΝΩι.

Εἶτ' εἰσὶν οἱ τέττιγες οὐκ εὐδαίμονες,
ὧν ταῖς γυναιξὶν οὐδ' ὁτιοῦν φωνῆς ἔνι;

ΔΑΜΟΞΕΝΟΥ

ΣΥΝΤΡΟΦΟΙΣ.

A. Ἐπικούρου δέ με
ὁρᾷς μαθητὴν ὄντα τοῦ σοφοῦ, παρ' ᾧ
ἐν δύ' ἔτεσιν καὶ μησὶν οὐχ ὅλοις δέκα
τάλαντ' ἐγώ σοι κατεπέπωκα τέτταρα.
B. Τοῦτο δὲ τί ἐστιν, εἰπέ μοι, καθηγέτα;
μάγειρος ἦν κἀκεῖνος; A. Οὐκ ᾔδεις; θεοί,
ποῖος μάγειρος; ἡ φύσις πάσης τέχνης
ἀρχέγονός ἐστι· φύσεως, ὦ ἀλιτήριε,
οὐκ ἔστιν οὐδὲν εἰς τὸ ποιεῖν σοφώτερον.
ἣν τ' εὐχερὲς τὸ πρᾶγμα τοῦ λόγου πλείω
ἔχοντι τούτου· πολλὰ γὰρ συμβάλλεται.
διόπερ μάγειρον ὅταν ἴδῃς ἀγράμματον,

Et qui Democriti libros non perlegerit,
Jmò animo teneat, vanum & insulsum puta.
Epicuri normæ ignarum si conduxeris,
Quasi de schola dimitte. nam scire est opus
Quid à se distet glaucus hiberno gelu,
Et æsti tempestate. scire & piscium
Sit qualis quisque vel cum Virgiliæ occidunt,
Vel anni circa pulsus, vtilissimum est.
Habent periclum mutamenta ac momina:
Jpsoque in victu maximam mortalibus
Variantiam concinnant. at vero (capis?)
Id gratum est apto sumitur quod tempore.
B. *Quoius ista quisque obseruat?* A. *Inde vermina*
Et spiramenta cogunt id quod indecet
Conuiuam facere. quod vero à me apponitur
Jd omne alebre est, & rarefit tenuiter,
Tum rectà perflat. succus autem inde editus
Peræquabiliter se in meatus diuidit.
B. *Succusne dicis?* A. *Democritus præ me nihil.*
At quod inæquale est vescenti arthritim ciet.
B. *Videre & artis esse medicæ particeps.*
A. *Certe: & naturam quisquis nouit. at coquûm*
Ætatis huius, prôh, quanta imperitia est?
Quos si tu quando videris confundere
Aduersigeneres pisces in cinni modum
Et sesama his interere, sumant ordine
Qui adsunt & afflent visij suffitibus:
Meum hoc oraclum est. quid enim confiat bene,
Vbi alia ad aliam commiscetur priuitas
Hamata offensus non concordantis iugo?
Isthæc perspicere ingenuæ opus peritiæ est,
Non ollas lauere & olere de fumi halitu.

μὴ Δημόκριτόν τε πάντα διανεγνωκότα,
μᾶλλον δὲ κατέχοντα, καταγέλα σύ γ' ὡς κενοῦ·
καὶ τὸν Ἐπικούρου κανόνα, μισθώσας ἄφες
ὡς ἐκ διατριβῆς. τοῦτο δεῖ γὰρ εἰδέναι,
τίν' ἔχει διαφορὰν πρῶτον, ὦ βέλτιστέ σύ,
γλαυκίσκος ἐν χειμῶνι καὶ θέρει πάλιν·
ποῖος ἐπὶ δύσει Πλειάδων συνειδέναι
ἰχθύς, ὑπὸ τροπάς τ' ἐστὶ, χρησιμώτατος.
αἱ μεταβολαὶ γὰρ αἵ τε κινήσεις κακὸν
ἤλιβατα δ' ἀνθρώποισιν ἀλλοιώματα
ἐν ταῖς τροφαῖς ποιοῦσι· μανθάνεις; ὃ δὲ
ληφθὲν καθ' ὥραν ἀποδίδωσι τὴν χάριν.
B. Τίς παρακολουθεῖ ταῦτα; A. Τοιγαροῦν στρόφοι
καὶ πνευμάτια γινόμενα τὸν κεκλημένον
ἀσχημονεῖν ποιοῦσι· παρὰ δ' ἐμοὶ τρέφει
ὃ προσφερόμενον βρῶμα καὶ λεπτύνεται,
ὀρθῶς τε διαπνεῖ· τοιγαροῦν εἰς τοὺς πόρους
ὁ χυμὸς ὁμαλῶς πανταχοῦ συνίσταται.
B. Χυμὸς λέγεις; A. Δημόκριτος οὐδὲν παρά γέ μοι.
τὰ δ' ἀσύμμετρα ποιεῖ τὸν φαγόντ' ἀρθριτικόν.
B. Καὶ τῆς ἰατρικῆς τι μετέχειν μοι δοκεῖς.
A. Καὶ πᾶς ὁ φύσεως ἔννους· ἡ δ' ἀπειρία
τῶν νῦν μαγείρων κατάμαθε, πρὸς τῶν θεῶν,
οἵα 'στίν· ἐδωδὴν ὅταν ἴδῃς ἐξ ἰχθύων
ὑπεναντίων ἄλμῃσι ποιοῦντας μίαν,
καὶ σήσαμ' ἐπιπείθοντας εἰς ταύτην, λαβὼν
ἕκαστος αὐτὴν κατὰ μέρος προσαπαρδίτω.
ὥς μοι κέχρηται. τί γὰρ ἂν εὖ γένοιτό τι
τῆς ἰδιότητος πρὸς ἑτέραν μεμιγμένης
καὶ συμπλεκομένης οὐχὶ συμφώνους ἁφάς;
ὃ ταῦτα διορᾶν ἐστιν εὐψύχου τέχνης,
οὐ τὸ διανίζειν λοπάδας, οὐδ' ὄζειν καπνοῦ.

Meus iſte mos eſt non coquinam indugredi,
Sed ſpeculabundum non ita longe aſſidere.
Opus alij faciunt. B. *At tu?* A. *Cauſas, exitus*
Commemoro. mitte. ſat minutal hoc acet.
B. *Non tu coquus, ſed menſor.* A. *Ignem auctum face:*
Æquetur ſalſamentum. prima hæc ordine
Feruet, ſed alijs olla diſpariter. capis
Formam artis? B. *Proh Dî, quanta hæc & quanti preti?*
A. *Neque vero temere, vt cecidit, conuiuis dapes*
Appono, certis ſed miſturæ textibus.
B. *Quo pacto?* A. *Sunt queis ratio ſeſquitertia eſt,*
At alijs eſt ſeſqualtera, aut etiam dupla.
Hæc ego concilio ex interuallûm federe:
Deinde implicito ſuis propritim influxibus.
Mox abſtans paullum quæro quibus ex partibus
Sit commiſſura. iſtorum quid miſces? vide
Diſſonitum. ſapiens non excedit terminum.
Epicurus ipſe ſic condenſabat volup:
Mandebat accurate: ſolus nouerat
Bonum quid eſſet. nanque illi de porticu
Perpetuo quærunt, quale & quid ſit neſcij.
Qui cum non habeant id quod ignorant, alîs
Certe non dederint. B. *Hæc tua eſt ſententia?*
Mittamus ergo reliqua quæ pridem patent.

ἐγὼ γὰρ ὀπτανεῖον οὐκ εἰσέρχομαι,
ἀλλά τι θεωρῶ πλησίον καθήμενος·
ποιοῦσι δ' ἕτεροι. Β. Σὺ δέ; Α. Λέγω τὰς αἰτίας,
καὶ τἀποβαῖνον· ἐξὺ τὸ παρείχομαι· ἄφες.
Β. Ἁρμονικὸς, οὐ μάγειρος. Α. Ἐπίτεινον τὸ πῦρ·
ὁμαλιζέτω τὸ τάχος· ἡ πρώτη λοπὰς
ζεῖ ταῖς ἐφεξῆς οὐχὶ συμφώνως· νοεῖς
τὸν τύπον; Β. Ἄπολλον, καὶ τί φαίνεται τέχνη;
Α. Εἶτ' οὐθὲν εἰκῆ παρατίθεμαι τοῖς συμπόταις
βρωμάτ', ἀλλὰ μίξας πάντα κατὰ συμφωνίαν.
Β. Πῶς ἐστιν αὖθις; Α. Ἃ διὰ τεττάρων ἔχει
κοινωνίαν, διὰ πέντε, διὰ πασῶν πάλιν,
ταῦτα προσάγω πρὸς αὐτὰ τὰ διαστήματα,
καὶ ταῖς ἐπιφοραῖς εὐθὺς οἰκείαις πλέκω.
ἐνίοτε δ' ἀφεστὼς παρακελεύομαι, πόθεν
ἅπτει; τί τούτῳ μιγνύειν μέλλεις; ὅρα
διάφωνον· ἔρκος οὐχ ὑπερβήσῃ σοφός.
Ἐπίκουρος οὕτω κατεπύκνου τὴν ἡδονήν.
ἐμασᾶτ' ἐπιμελῶς· εἶδε τἀγαθὸν μόνος
ἐκεῖνος οἷόν ἐστιν· οἱ δ' ἐν τῇ στοᾷ
ζητοῦσι συνεχῶς, ὅτι ἐστ' οὐκ εἰδότες·
οὐκοῦν ὅ,τ' οὐκ ἔχουσιν ἀγνοοῦσί τε
οὐδ' ἂν ἑτέρῳ δοίησαν. Β. Οὕτω σοι δοκεῖ;
ἀφαιρῶμεν οὖν τὰ λοιπὰ δῆλα δὴ πάλαι.

THEOGNETI

MOSTELLARIA, siue AVARO.

Philosophiæ contemtus.

A. *TAndem puto me enicabis: nam totus tumes*
Porticigenarum disputatiunculis.
B. *Pecunia homini alienum.* A. *Mera pruina id est.*
B. *Sapientia proprium.* A. *Glacies.* B. *Hanc qui acceperit,*
Amittet nunquam. A. *Miserum me quem Fors mala*
Philosophi talis iunxit contubernio.
Miser, peruersas edidicisti literas.
Vitam corrupit tibi librorum lectio.
Agis cum cælo & terra verbis philosophis,
Quibus nulla dictis de tuis curatio est.

ΘΕΟΓΝΗΤΟΥ

ΦΑΣΜΑΤΙ, ἢ ΦΙΛΑΡΓΥΡΩι.

A. Ἄνθρωπ᾽ ἀπολεῖς με· τῶν γὰρ ἐκ τῆς ποικίλης
στοᾶς λογαρίων ἀναπεπλησμένος νοσεῖς.
B. Ἀλλότριον ἐσθ᾽ ὁ πλοῦτος ἀνθρώπῳ.
A. Πάχνη.
B. Σοφία δ᾽ ἴδιον. A. Κρύσταλλος. B. Οὐδεὶς πώποτε
ταύτην λαβὼν ἀπώλεσ᾽. A. Ὦ τάλας ἐγώ,
οἵῳ μ᾽ ὁ δαίμων φιλοσόφῳ συνῴκισεν;
ἐπαρίστερ᾽ ἔμαθες, ὦ πόνηρε, γράμματα·
ἀνέστροφέν σου τὸν βίον τὰ βιβλία·
πεφιλοσόφηκας γῇ τε καὶ οὐρανῷ λαλῶν,
οἷς οὐδέν ἐστιν ἐπιμελὲς τῶν σῶν λόγων.

THEOPHILI

FIDICINE.

THesaurus manens
Felicitatis maximæ est ars musica,
His qui illam edocti imbiberunt penitis sensibus.

NEOPTOLEMO.

SEni non bene respondet iuuenis femina:
Nam quasi nauigium est quod gubernaclo vnico
Parere nescit: ruptis sed rudentibus
De nocte in alio portu deprehenditur.

TIBIARVM STVDIOSO.

QVicunque mentem negat adesse amantibus,
Ipse est ingenio stolido & bardis moribus.
Nam qui voluptates de vita exemerit,
In vita præter mortem nîl reliquerit.
De me argumentum capio, qui nunc virginem
Amo fidicinam, (num desipio, per Deos?)
Pulchram, proceram, in arte excellentissimam,
Quam mihi conspicere suauius, quam est omnibus
Vobis in lucar diuidere pecuniam.

ΘΕΟΦΙΛΟΥ

ΚΙΘΑΡΩΙΔΩι.

ΜΕγας καὶ μακάριος
θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ
ἅπασι τοῖς μαθοῦσι παιδείαν θεῖσί τε.

ΝΕΟΠΤΟΛΕΜΩι.

ΟΥ συμφέρει νέα 'στὶ πρεσβύτῃ γυνή·
ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν πείθεται
ἑνὶ πηδαλίῳ· τὰ δέσμ' ἀπορρήξασα γ'
ἐκ νυκτὸς ἕτερον λιμέν' ἔχουσ' ἐξευρέθη.

ΦΙΛΑΥΛΩι.

ΟΣ φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἤπου τις ἐστὶ τοῖς τρόποις ἀβέλτερος·
Εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπεται οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶ
παιδὸς καλῆς, μουσικῆς μεγάλης, τέχνῃ σοφῆς·
ἧς ἥδιον ἰδεῖν ἐστιν, ἢ τὸ θεωρικὸν
ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

MENANDRI

FRATRIBVS. St. Fl. 53. 71. 171. 215.

NUmen est verè bonis
Mens ipsa: ita quippe credi sapientes iubent.
Communia amicos inter, non pecuniæ
Tantum, sed & mens pariter & prudentia.

PISCATORE. St. Fl. 231. 333. 367.

NEpotem ita egit agere vt non posset diu.
Mortis è generibus propriũ si sit capiendũ mihi,
Optimum putem, iacere pinguem, tentis ilibus,
Vix loquentem, totum habentem suprà in ore spiritum,
Esitantem, clamitantem, Defluo voluptatibus.

Porcinum votum.

ANDRIA. St. Fl. 265.

ΜΕΝΑΝΔΡΟΥ

ΑΔΕΛΦΟΙΣ.

Θεός ἐστι τοῖς χρηστοῖς ἀεὶ
ὁ νοῦς ἄρ᾽ ὡς ἔοικε τοῖς σοφωτάτοις.
Τὰ τῶν φίλων κοιν᾽ οὐ μόνον τὰ χρήματα·
καὶ νοῦ δὲ καὶ φρονήσεως κοινωνία.

ΑΛΙΕΙ.

Ἐτρύφησεν ὥστε μὴ πολὺν τρυφᾶν χρόνον.
Ἰδεῖν ἐπιθυμοῦ τι μόνος μοι θάνατος οὗτος φαίνεται
εὐθάνατος, ἔχοντα πολλὴν τὴν χολάδα κεῖσθαι παχύν,
καὶ μόλις λαλοῦντα καὶ τὸ πνεῦμ᾽ ἔχοντα πολὺ ἄνω,
ἐσθίοντα καὶ λέγοντα, Σήπομ᾽ ὑπὸ τῆς ἡδονῆς.

ΑΝΔΡΙΑι.

ANDROGYNO. ST. FL. 171. 455.

CRato, ego amicitiæ præsidem testor Iouem.

CONSOBRINIS. ST. FL. 331.

Physicum.

HÆc fax aquosis tota madet humoribus:
Quassanda non est, conspergenda est cineribus.

CLYPEO. ST. FL. 117. 187. 203.

CAstrifugæ plurimi
Vicos depopulabantur.

MINERVÆ SACRA FERENTIBVS. ST. FL. 231.

CVnctos reddis, ô Byzantium,
Tu mercatores ebrios: totam tibi
Potauimus noctem, & quidem, vt credo, merum.
Itaque nunc surgo capita gestans quattuor.
A. Duxis vxorem caue,
Vita quam nactus derelicta. duxi ego:

ΑΝΔΡΟΓΥΝΩι.

Μαρτύρομαι τὸν φίλιον, ὦ Κράτων, Δία.

ΑΝΕΨΙΟΙΣ.

Ὁ φανὸς ἐστι μεστὸς ὕδατος οὑτοσί·
δεῖ τ᾽ οὐχὶ σείειν, ἀλλὰ ἀποδιδόναι.

ΑΣΠΙΔΙ.

Πολλοὶ γὰρ ἐκλελοιπότες
τὸν χάρακα τὰς κώμας ἐπόρθουν.

ΑΡΡΗΦΟΡΟΙΣ.

Ταύτας σὺ μεθύων, Βυζάντιον,
τοὺς ἐμπόρους ποιεῖς· ὅλην ἐπινόμενοι
τὴν νύκτα διὰ σέ· καὶ σφόδρ᾽ ἄκρατόν μοι δοκῶ
ἀνίσταμαι γοῦν τέτταρας κεφαλὰς ἔχων.
A. Οὐ γαμεῖς δὲ νοῦν ἔχεις
τοῦτον καταλιπὼν τὸν βίον· γεγάμηκα γάρ.

Eò ne ducas etiam atque etiam suadeo.
B. *Decretum est, constitutum est: iacta est alea.*
A. *Perge igitur: verum ex animo vt sis saluus precor.*
Nanque in negotiorum mare te coniicis,
Non Libycum, non Ægæum, non Ægyptium,
Vbi de triginta tres vix pereunt nauibus:
At de coniugio ne vnus enauit quidem.
Ad bona verba omnis locus
Pro templo est: mens est quippe quæ loquitur Deo.

VENERALIBVS. ST. FL. 261.

Explicata quam ægrotauerat
Morbo, sermones habitos nequijt reddere.

BOEOTIA. ST. FL. 161. 369. 455.

AGRICOLA. ST. FL. 35. 219. 385. 437. nisi quod horum quædam videntur esse ex Gorgia.

Mentis es motæ & ridiculus, qui cùm ingenuam virginem
Cœperis adamare, tacitus istas pateris nuptias
Irritas tibi parari.

αὐτὸς διὰ τοῦτό σοι παραινῶ μὴ γαμεῖν.
B. Δεδογμένον τὸ πρᾶγμ'· ἀνερρίφθω κύβος.
A. Πέραινε· σωθείης δὲ νῦν· ἀληθινὸν
Εἰς πέλαγος αὑτὸν ἐμβαλεῖς γὰρ πραγμάτων,
οὐ Λιβυκὸν, οὐδ' Αἰγαῖον, οὐδ' Αἰγύπτιον,
οὗ τῶν τριάκοντ' οὐκ ἀπόλλυται τρία
πλοιάρια· γήμας δ' οὐδὲ εἷς σέσωσθ' ὅλως.
Πάντ' ἐστὶ τῷ καλῷ λόγῳ
ἱερόν· ὁ νοῦς γάρ ἐστιν ὁ λαλήσων θεῷ.

ΑΦΡΟΔΙΣΙΟΙΣ.

Ἐκφυγοῦσα δ' ἣν εἶχεν νόσον
οὐκ ἔχει τοὺς ῥηθέντας ἀναθέσθαι λόγους.

ΒΟΙΩΤΙΑι.

ΓΕΩΡΓΩι.

Ἐμβεβρόντησαι γελοῖον ὃς κόρης ἐλευθέρας
Εἰς ἔρωθ' ἥκων σιωπᾷς καὶ μάτην ποιουμένους
περιορᾷς γάμους σεαυτοῦ.

ANNVLO.

Maritum succo viuentem suo
Nihil indigentem dotis ecce inuenimus.
Natum est subuentaneum
Nullo virili de satu.
Quandoquidem vsqueadeo mentis est exsors miser,
Vt collocare gnatam in matrimonium
Grauetur, quinquaginta cùm habeat filias.

DARDANO.

Natus quem genitor pauper educauerat
Melius quam res ferebat, indoluit patrem
Vt vidit inopem. nam probe edocta indoles
Pulchrum beneficij fructum confestim edidit.

SVPERSTITIOSO. St. Fl. 59.

A. *Bene hoc mihi proueniat, ô sancti Dei,*
Quod inter calceandum dextri calceì
Vinclum diruptum est. B. *Merito euênit, Clinia:*
Nanque erat id detritum: & tu præparcus nimis
Qui non nouum emeres.

ΔΑΚΤΥΛΙΩι.

Οἰκόσιτον νυμφίον
οὐδεὶς δεόμενον προικὸς ἐξευρήκαμεν.
Ανεμιαῖον ἐγένετο
τὸ σπέρματος δίχ' ἄῤῥενος.
Ἐπεὶ δ' ἄλλοις οὕτως ὁ κακοδαίμων ἔφυ
ὡς οὐκ ἂν ἐκδοίη θυγατέρ' ἀσμένως,
καὶ ταῦτα πεντήκοντα παιδίσκας ἔχων.

ΔΑΡΔΑΝΩι.

Ἀνδρὸς πένητος υἱὸς ἐκτεθραμμένος
οὐκ ἐξ ὑπαρχόντων, ὁρῶν ἠσχύνετο
τὸν πατέρα μικρ' ἔχοντα. παιδευθεὶς γὰρ εὖ
τὸν καρπὸν εὐθὺς ἀπεδίδου χάριτος καλόν.

ΔΕΙΣΙΔΑΙΜΟΝΙ.

Α. Ἀγαθόν γένοιτό μοι, ὦ πολυτίμητοι θεοί·
ὑποδούμενος γὰρ δεξιᾶς τῆς ἐμβάδος
τὸν ἱμάντα διέῤῥηξ'. Β. Εἰκότως γ', ὦ Κλε-
νία·
σαπρὸς γὰρ ἦν. σὺ δὲ σμικρολόγος οὐ θέλων
καινὸν πρίασθαι.

LIBIFICA. St. Fl. 381. illud μακκέειος cum versu sequente hinc sumtum est secundum quosdam.

A. *PVer, quid hoc est quod ministerialiter*
Incedis adeo? B. *Nempe opera ad pistoria*
Tota euigilata nox est, atque etiam tamen
Infecta restant multa.

SORORIBVS GEMINIS.

Cynicismus.

MEcum ambulabis trito palliolo obsita,
Vt Cynicus ductitauit vxorem Crates.
Idem elocauit gnatam, lege hac addita,
Periclum vt eius fieret triginta dies.

BIS FALLENTE. St. Fl. 493.

DVAS AMANTE. St. Fl. 493.

RErum vniuersarum imperatorem & patrem
Solum perpetuo colere suppliciter decet,
Artificem tantæ & largitorem copiæ.

ΔΗΜΙΟΥΡΓΩι.

A. ΤΙ τοῦτο παῖ; διακονικῶς γὰρ νὴ Δία
ἀπεληλύθας. B. Ναί· πλάττομεν γὰρ πλάσματα,
τὴν νύκτα τ' ἠγρυπνήκαμεν· καὶ νῦν ἔτι
ἀποίητα πάμπολλ' ἐστὶν ἡμῖν.

ΔΙΔΥΜΑΙΣ.

ΣΥμπεριπατήσεις γὰρ τρίβων' ἔχουσ' ἐμοὶ,
ὥσπερ Κράτητι τῷ Κυνικῷ ποθ' ἡ γυνή·
καὶ θυγατέρ' ἐξέδωκε κεῖνος, ὡς ἔφη
αὐτὸς, ἐπὶ πείρᾳ δοὺς τριάκονθ' ἡμέρας.

ΔΙΣ ΕΞΑΡΑΤΩΝΤΙ.

ΔΙΦΙΛΩι.

ΤΟν ὄντα πάντων κύριον γλυκύτατον
καὶ πατέρα, τοῦτον διατελεῖ τιμᾶν μόνον,
ἀγαθῶν τοιούτων εὑρετὴν καὶ κτίστορα.

MOROSO. St. Fl, 93. 129.

NEmo coquum
Iniuria qui affecit, impune abstulit.
Tantam habet ars isthæc nostra sanctimoniam.
Vt sacrificant vecticularij!
Cistas & vrnas inferunt, non Hercule
Deûm, sed suapte gratia. Tus res pia est
Libumque: nanque id omne Dîs impenditur
Flammis impositum. cæterum isti fel merum,
Lumbique extrema, & ingustabilia ossua
Dijs ponentes relliquum ipsi deuorant.

SE PVNIENTE. St. Fl. 157. 378.

POst prandium etenim simul amygdalas ego
Apposui, deque Punicis gustauimus.

PVGIONE. St. Fl. 429. 465.

COrycæus exaudiuerat.

ΔΥΣΚΟΛΩι.

Οὐδ' εἷς
μάγειρος ἀδικήσας ἀθῷος διέφυγεν·
ἱεροπρεπής πως ἐστὶν ἡμῶν ἡ τέχνη.
Ὡς θύουσι δ' οἱ τυμβωρύχοι,
κίστας φέροντες καὶ σταμνί', οὐχὶ τῶν θεῶν
ἕνεκ' ἀλλ' ἑαυτῶν· ὁ λιβανωτὸς εὐσεβὲς
καὶ τὸ πόπανον· τοῦτ' ἔλαβεν ὁ θεὸς ἐπὶ τὸ πῦρ
ἅπαν ἐπιτεθέν· οἱ δὲ τὴν ὀσφῦν ἄκραν
καὶ τὴν χολὴν ὀστᾶ τ' ἄβρωτα τοῖς θεοῖς
ἐπιθέντες αὐτοὶ τἄλλα καταπίνουσ'.

ΕΑΥΤΟΝΤΙΜΩΡΟΥΜΕΝΩι.

Μετὰ γὰρ ἄριστον ὡς ἀμυγδαλᾶς ἐγὼ
παρέθηκα καὶ τῶν ῥοιδίων ἐτρώγομεν.

ΕΓΧΕΙΡΙΔΙΩι.

Κωρυκαῖος ἠκροάζετο.

SPONSORE. St. Fl. 116. 141. 199.

INCENSA. St. Fl. 117. 165. 327.

Pereat male qui uxorem ducere
Instituit primus, tum secundus qui fuit,
Tum tertius, tum quartus, tum qui postumus.

ORBA PRIORE, & POSTERIORE. St. Ft. 329.

Certe vigiliâ nulla est res loquacior:
Nanque hæc me expergefactum huc produxit loci,
Ut ordine omnem vitam intelligeret meam.

MANDATORIBVS. St. Fl. 135. 362. illud ἐλεύθερος.

Lenonia imperia.

Non plorabitis?
Agetis vitam perditam in vetulario.
Tota elangui
Plorando.

ΕΠΑΓ-

ΕΠΑΓΓΕΛΛΟΜΕΝῼ.

ΕΜΠΙΠΡΑΜΕΝΗι.

Ἐξώλης ἀπόλοιθ᾽ ὅστις ποτὲ
ὁ πρῶτος ἦν γήμας, ἔπειθ᾽ ὁ δεύτερος,
εἶθ᾽ ὁ τρίτος, εἶθ᾽ ὁ τέταρτος, εἶθ᾽ ὁ μεταγενής.

ΕΠΙΚΛΗΡῼ ΠΡΩΤΗι, καὶ ΔΕΥΤΕΡΑι.

Ἄρ᾽ ἐστὶ πάντων ἀγρυπνία λαλίστατον·
ἐμὲ γοῦν ἀναστήσασα δεῦρο προάγεται
λαβεῖν ἀπ᾽ ἀρχῆς πάντα τὸν ἐμαυτοῦ βίον.

ΕΠΙΤΡΕΠΟΥΣΙ.

Οὐκ οἰμώξετε;
καταφθαρῆσθ᾽ ἐν μαγυλλείῳ τὸν βίον;
Ἐξετύφην μὲν οὖν
κλάουσα.

EVNVCHO. St. Fl. 129. 455.

AVRIGA. St. Fl. 455.

Dij Gentium.

Mihi placere non potest anuis comes
Deus ambulator, nec qui irrepit in domos
Tabulæ præsidio. qui Deus probus est, domi
Maneat oportet, supplices vt sospitet.

HEROE. St. Fl. 245. 363. 429.

THAIDE.

Nunc illam talem cane, quod te veneror, Dea,
Ferocem, sed pulchellam & illecebriloquam,
Iniustificam, clusiforem, poscinummiam,
Et neminamantem, sempersimulantē tamen.
Colloquia mores praua corrumpunt bonos.

AFFLATA St. Fl. 15. illud ὁ πλείστων.

ΕΥΝΟΥΧΩι.

ΗΝΙΟΧΩι.

Οὐδείς μ' ἀρέσκει περιπατῶν ἔξω θεός
μετὰ γραός· οὐδ' εἰς οἰκίας παρεισιὼν
ἐπὶ τοῦ σανιδίου. τὸν δίκαιον δεῖ θεὸν
οἴκοι μένειν σώζοντα τοὺς ἱδρυμένους.

ΗΡΩΙ.

ΘΑΙΔΙ.

Ἐμοὶ μὲν οὖν ἄειδε τοιαύτην, θεά,
θρασεῖαν, ὡραίαν δὲ καὶ πιθανὴν ἅμα,
ἀδικοῦσαν, ἀποκλείουσαν, αἰτοῦσαν πυκνά,
μηδενὸς ἐρῶσαν, προσποιουμένην δ' ἀεί.
Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.

ΘΕΟΦΟΡΟΥΜΕΝΗι.

THESSALA. ST. FL. 33. 237.

THRASYLEONTE. ST. FL. 109. 227.

CVnctator, frugiperda, terræ inutilis,
Miser vt qui ali se agnoscat immerito suo.

THESAVRO. ST. FL. 243. 245. 265.

FLAMINICA.

Dij Gentium.

NVnquam hominis opera alterius hominem sospitat
Deus immortalis. nanque si quo vult Deum
Homo perductat creperis tintinnabulis,
Tantum qui pollet ipse iam maior Deo est.
Sed ista sunt commenta confidentiæ,
Et impudentis ingenî molimina,
Ludibria vitæ denique humanæ, Rhode.

ΘΕΤΤΑΛΗι.

ΘΡΑΣΥΛΕΟΝΤΙ.

Ὁ Γανταμέλλων, σιτόκουρος, ἄθλιος,
ἄχρηστος εἰς γῆν, παρατρέφεσθαι ὁμολογῶν.

ΘΗΣΑΥΡΩι.

ΙΕΡΕΙΑι.

Ουδεὶς δι' ἀνθρώπου θεὸς σώζει, γύναι,
ἑτέρου τὸν ἕτερον· εἰ γὰρ ἕλκει τὸν θεὸν
τοῖς κυμβάλοις ἄνθρωπος εἰς ὃ βούλεται,
ὁ τοῦτο ποιῶν ἐστὶ μείζων τοῦ θεοῦ.
ἀλλ' ἔστι τόλμης καὶ βίου ταῦτ' ὄργανα
εὑρημέν' ἀνθρώποις ἀναιδέσιν, Ῥόδη,
εἰς καταγέλωτα τῷ βίῳ πεπλασμένα.

IMBRIIS. St. Fl. 15. illud οὐκ ἔστι.

EQVISONE.

FVit olim Monimus, sane philosophus,
Sed ignobilior: pera huic vna non erat,
At enimvero tres: is caninum habitum ferens
Nihil dicebat simile istis sententijs:
Puta, Te ipsum nosce, quæque coacta eiusmodi:
Sed nec mendicans quicquam, nec sorde obsitus:
Non constat, inquit, ea de re quæ sumitur.

CANISTRIFERIS. St. Fl. 453.

QVid sine labore nactum est fortunam bonam?

CARIA. St. Fl. 139.

POENVLO. St. Fl. 59.

ΙΜΒΡΙΟΙΣ.

ΙΠΠΟΚΟΜΩι.

Μόνιμος ἄνθρωπος ἦν τις φιλόσοφος
ἀδοξότερος· μίαν δὲ μὴ πήραν ἔχων,
πήρας μὲν οὖν τρεῖς. ἀλλὰ κοινὸς ἐν ῥήματι
ἐφθέγξατ' οὐδὲν ἐμφερές, μὰ τὸν Δία,
τῷ Γνῶθι σαυτόν, οὐδὲ τοῖς βιωμένοις
τούτοις. ὑπὲρ ταῦτ' ὁ προσαιτῶν, ὁ ῥυπῶν·
τὸ γὰρ ὑποληφθὲν τυφλὸν εἶναι πᾶν ἔφη.

ΚΑΝΗΦΟΡΟΙΣ.

Τί γὰρ προθύμως μὴ ποιοῦσιν εὐτυχεῖ;

ΚΑΡΙΝΗι.

ΚΑΡΧΗΔΟΝΙΩι.

CALVMNIANTE. St. Fl. 109. illud τὸ Γιῶθι secundum libros quosdam.

VITTA. St. Ecl. 139. illud τοῦ στέμματος.

Lex sumtuaria.

Comperto iussos legis præscripto nouæ
Apud Censores nomen profiteri suum
Coquos quorum opera famularetur nuptijs,
Interrogandos numquis conuiuas sibi
Vocasset plures lege quam permittitur.

CNIDIA. St. Ecl. 137. illud τοῦ σώματι ᾽στιν. St. Fl. 353.

FIDICINE. St. Ecl. 139. St. Fl. 59. 383. 391. 411.

Res sunt cognatæ vita & anxietudines:
Vitam sequuntur mollem, vitæ fulgidæ
Non absunt, vitæ consenescunt pauperi.
Amare prædicatur literas,
Et delicatas cantiones discere.

ΚΑΤΑΨΕΥΔΟΜΕΝΩι.

ΚΕΚΡΥΦΑΛΩι.

Παρὰ τοῖς γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις
διακονοῦντας ἀπογεγράφθαι πυνθάνομαι
πάντας μαγείρους κατὰ νόμον καινόν τινα,
ἵνα πυνθάνωνται τοὺς κεκλημένους, ἐὰν
πλείους τις ὧν ἔξεστιν ἑστιῶν τύχῃ.

ΚΝΙΔΙΑι.

ΚΙΘΑΡΙΣΤΗι.

Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
τρυφερῷ βίῳ σύνεστιν· ἐνδόξῳ βίῳ
πάρεστιν· ἀπόρῳ συγκαταγηράσκει βίῳ.
Φιλόμουσον εἶν' αὐτὸν πάνυ
ἀκούσματ' Εἰς τρυφήν τε παιδεύεσθ' ἅμα.

ASSENTATORE. St. Fl. 69.

Preces.

A. Libatur. heus fer exta. quonam respicis?
Libatur. B. En pia, multa. A. Libatur. B. Iuuet.
Deos precare. A. Cœlites Deos Deas
Cunctos precemur atque cunctas. B. Accipe
Linguam. A. Salutem sanitatemque vt duint,
Bona nobis tribuint multa, quæque adsunt bona
Ea prosperassint. cunctis hæ fiant preces.

LVCTATRICIBVS. St. Fl. illud ὥςε.

GVBERNATORIBVS. St. Fl. 113.

Oblitu'st se ipse qui sit.

LEVCADIA. St. Fl. 69. 383.

ΚΟΛΑΚΙ.

Α. Σπονδή· δίδου σὺ σπλάγχν' ἀκολουθῶν. ποῖ
βλέπεις;
σπονδή. Β. Φέρω πλείω ὄσια. Α. Σπον-
δή. Β. Καλῶς.
εὔχου θεοῖς. Α. Ὀλυμπίοις εὐχώμεθα,
κ' ὀλυμπίαισι πᾶσι, πάσαις. Β. Λάμβανε
τὴν γλῶτταν. Α. Ἐν τούτῳ διδόναι σωτηρίαν,
ὑγίειαν, ἀγαθὰ πολλά, τῶν ὄντων τε νῦν
ἀγαθῶν ὄνησιν· πᾶσι ταῦτ' εὐχώμεθα.

ΚΟΝΙΖΟΜΕΝΑΙΣ.

ΚΥΒΕΡΝΗΤΑΙΣ.

Ἐγελᾶθ' αὐτὸν ὅστις ἐἴη.

ΛΕΥΚΑΔΙΑι.

EBRIETATE.

Sacra Gentium.

REm nõne absurdam facimus cùm facimus sacrũ?
Nam quod Dîs emitur vna forte ouicula est,
Decem quam drachmis facile conciliaueris:
At hercle vnguentum, fidicinas, tibicinas,
Mendæum, Thasium, mella, anguillas, caseum
Vix est talento minus vt præstinaueris.
Quare nos æquum est sacra si cedant bene,
A Dîs accipere drachmas quod valeat decem:
Cum quo si sumtus reliquos comparaueris,
Sacra duplum nobis præ bono dabunt mali.
Ego, si Deus sim, nunquam possim perpeti
Imponeretur aris vt lumbus meus,
Nisi consecratis etiam anguilla accederet,
Vt terrigenûm vnus Callimedon mortem oppetat.
Non hominis, sed dei est,
Vbique bene esse.

FAMVLO IDÆÆ MATRIS. ST. F L. 381.

ODIOSO.

Dij Gentium.

ID mihi siquando detur conspicarier,
Animum recipiam. nam nunc. at verò Deos
Vbinam sit inuenire tam iustos, Geta?

ΜΕΘΗι.

Ἶτ' οὐκ ἀτοπώτατα πράττομεν καὶ θύομεν;
ὅπου γε τοῖς θεοῖς μὲν ἠγορασμένον
δραχμῶν ἄγω προβάτιον ἀγαπητὸν δέκα·
αὐλητρίδας δὲ καὶ μύρα καὶ ψαλτρίας,
Μενδαῖον, Θάσιον, ἐγχέλεις, τυρὸν, μέλι,
μικροῦ τάλαντον γίνεται τὸ κατὰ λόγον·
δραχμῶν μὲν ἀγαθὸν ἄξιον λαβεῖν δέκα
ἡμᾶς ἐὰν καλλιερηθῇ τοῖς θεοῖς.
τούτων δ' εἰ πρὸς ταῦτ' ἀνελεῖν δεῖ τὴν ζημίαν,
πῶς οὐχὶ τὸ κακὸν τῶν ἱερῶν διπλάζεται;
ἐγὼ μὲν οὖν ὤν γε θεὸς οὐκ ἂν εἴασα
τὴν ὀσφὺν ἐπὶ τὸν βωμὸν ἐπιθεῖναί ποτε,
εἰ μὴ καθήγιζέ τις ἅμα καὶ τὴν ἔγχελυν,
ἵνα Καλλιμέδων ἀπέθανεν εἷς τῶν συγγενῶν.
Τοῦ θεοῦ γὰρ πανταχοῦ
ἔχειν καλῶς.

ΜΗΤΡΑΓΥΡΤΗι.

ΜΙΣΟΥΜΕΝΩι.

Εἰ γὰρ ἐπίδοιμι τοῦτο, τὴν ψυχὴν ἀνα-
λάβοιμ' ἐγώ· νῦν γάρ· ἀλλὰ ποῦ θεοὺς
οὕτως δικαίους ἔστιν εὑρεῖν, ὦ Γέτα;

MVLIERVM OSORE. St. Fl. 455. bis.

Sacra gentium.

SAcrificabamus quinquies vno die:
Pulsabant septem famulæ in orbem cymbala,
Vlulabant aliæ.

NAVICVLARIO. St. Fl. 245. 461.

O Cara mater terra, quam venerabilis
Tu quamque sancta es rectè rem putantibus.
Æquum pol fuerat siquis patritum nepos
Fundum comesset, nauigare hunc perpetim,
Nec vsquam terra recipi, vt persentisceret
Quantum accepisset & non parsisset bonum.
A. *Nauem mihi saluam nuntias?* B. *Sanè.* A. *Meam*
Nauem illam quam qui nominatur Callicles
Exstruxit, rexit autem Euphranor Thurius?
Polynices vt perierit non consideras?

Demonstratio rei.

LEGISLATORIBVS.

LYchnuchus alteriu'st, alterius lecythus.

ΜΙΣΟΓΥΝΗι.

Ἐθυόμεθα δὲ πεντάκις τῆς ἡμέρας,
ἐκυμβάλιζον δ᾽ ἑπτὰ θεράπαιναι κύκλῳ,
αἱ δ᾽ ὠλόλυζον.

ΝΑΥΚΛΗΡΩι.

Ὦ φιλτάτη γῆ μῆτερ, ὡς σεμνὸν σφόδρ᾽ εἶ
τοῖς νοῦν ἔχουσι κτῆμα, πολλοῦ τ᾽ ἄξιον.
ὡς δῆτ᾽ ἐχρῆν εἴ τις πατρῴαν παραλαβὼν
γῆν καταφάγοι, πλεῖν τοῦτον ἤδη διὰ τέλους,
καὶ μηδ᾽ ἐπιβαίνειν γῆς. ἵν᾽ οὕτως ᾔσθετο
οἷον παραλαβὼν ἀγαθὸν οὐκ ἐφείσατο.
A. Τὴν ναῦν σεσῶσθαί μοι λέγεις; B. Ἐγώ. A. Ἐμὴν
τὴν ναῦν ἐκείνην ἣν ἐποίησε Καλλικλῆς
ὁ καλούμενος, Εὐφράνωρ δ᾽ ἐκυβέρνα Θούριος;
Ὅ, τε Πολυνείκης πῶς ἀπώλεθ᾽ οὐχ ὁρᾷς;

ΝΟΜΟΘΕΤΑΙΣ.

Ἕτερου λυχνοῦχος, ἑτέρου λήκυθος.

MILITVM CONSCRIPTIONE.
S T. E C L. 139. illud ὅπως.

OLYNTHIA. St. Fl. 447.

VT qui non prior incipiam, ſed me vindicem.

GERMANIS. St. F l. 137. 147.

I R A. St. Fl. 43. illud ὀυκ ἔστ.

Senex luxurioſus.

EGo quoque adoleſcens, mulier, aliquando fui:
Nec tunc lauabar quinquies vna die.
Nunc fiet, nec eram patagiatus: nunc ero.
Nec vnguentatus: at nunc pol tingar quoque,
Et depilabor. denique euadam breui
Cteſippus alter, non homo vt fui hactenus,
Atque ipſos etiam lapides abliguriam,
Ne mihi ſufficere terram poſſe cenſeas.
Hunc ſi pulchellum veſtra contigerit fames,
Cadauer faciet gracilius Philippide.

Paraſitus.

Quiſquis eſt differt nihil
A Chærephonte, qui vocatus ad dapes

ΞENO-

ΞΕΝΟΛΟΓΙΑι.

ΟΛΥΝΘΙΑι.

ΩΣ οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος.

ΟΜΟΠΑΤΡΙΟΙΣ.

ΟΡΓΗι.

ΚΑΙ τοι νέος ποτ' ἐγενόμην κἀγώ, γύναι,
ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας
τότ'· ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον· ἀλλὰ νῦν.
οὐδὲ μύρον εἶχον· ἀλλὰ νῦν· καὶ βάψομαι
καὶ παρατιλοῦμαι νὴ Δία, καὶ γενήσομαι
Κτήσιππος οὐκ ἄνθρωπος ἐν ὀλίγῳ χρόνῳ·
κᾆθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους
ἁπαξάπαντας· οὐ γὰρ οὖν τὴν γῆν μόνην.
Ο λιμὸς ὑμῶν τὸν καλὸν τοῦτον δακὼν
Φιλιππίδου λεπτότερον ἀποδείξει νεκρόν.
Διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ
ἄνθρωπος ὅστις ἐστίν, ὃς κληθείς ποτε

In serum tempus umbræ duodecempedis,
Mane umbra aspecta lumen ad Lunæ exijt
Cunctari metuens, cumque ipso die adfuit.

Sodalis & parasiti discrimen.

Iste verus est sodalis, non, vt alij, interrogat
Quando cœna sit futura, quidve præsentes vetet
Cœnam incipere: deinde cœnam quærit in perendinum,
Mox vbi silicernium sit.

PVERO. St. Fl. 237.

Cantus Ephesios nuptias facientibus
Hic auerruncos cantat.

PELLICE. St. Fl. 9. 147.

DEPOSITO. St. Fl. 203. 389. illud αἰσχρὸν iuxta quosdam codices. 427.

Quod vos fecistis, non amicarum est opus,
Opus amicorum est. vocum affines literæ
Ambiguam faciunt nominis sententiam.

PERINTHIA. St. Fl. 505.

Quicunque dominum nactus væcordem ac rudem
Tractauit illum seruus doctis astubus,

Εἰς ἑστίασιν δωδεκάποδος, ὄρθριος
πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδών,
ὡς ὑστερίζων, καὶ παρῆν ἅμ' ἡμέρᾳ.
Τοῦθ' ἑταῖρός ἐστιν ὄντως· οὐκ ἐρωτᾷ πηνίκα
δεῖπνόν ἐστιν, ὥσπερ ἕτεροι, καὶ τί δειπνεῖν κωλύει
τοὺς παρόντας, εἶτα δεῖπνον ἕτερον εἰς τρίτην τρέπει,
εἶτα περίδειπνον πάλιν.

ΠΑΙΔΙΩι.

Ἐφέσια τοῖς γαμοῦσιν οὗτος περιπατεῖ
λέγων ἀλεξιφάρμακα.

ΠΑΛΛΑΚΗι.

ΠΑΡΑΚΑΘΗΚΗι.

Πεποίηκατ' ἔργον οὐχ ἑταιρικόν, νὴ Δία,
μᾶλλον δ' ἑταίρων· ταῦτα δ' ὄντα γράμματα
τὴν προσαγόρευσιν οὐ σφόδρ' εὔσημον ποιεῖ.

ΠΕΡΙΝΘΙΑι.

Ὅστις παραλαβὼν δεσπότην ἀπράγμονα
καὶ κωφὸν ἐξαπατᾷ θεράπων, οὐκ οἶδ' ὅτι

Ignorat quantæ molis rem confecerit,
Quod exstupidauit illum qui stupidus fuit.

MONILI. ST. FL. 215. illud ἄρ' ἐστιν. 279. 387. 437. 453.

Dotata.

IN aurem vtranque dote freta dapsili
Dormibit, operè exacto commemorabili
Et glorioso, quippe quæ eiecit domo
Victrix eam quam voluit aduorsariam:
Nimirum vt illam iam omnes æquales suæ
Suspiciant, atque emineat in toto grege
Mea domina sumta vultus celsitudine,
Quod assolet dici, asinus inter simias.
Silere satius noctem quæ tot miserijs
Initium fecit. hei mihi. quod Creobylam,
Creobylam, Creobylam vnà cum decem
Cepi talentis cubitalem mulierculam.
Et illa ferri an potis est insultatio?
Non per Iouem ac Mineruam. nequaquam potest.
Ancillula adeo sedula, verbo celerior,
Exacta est. esto. sed quam substituat vide.

A. *Dotatam duxi Lamiam. non dixi tibi?*
B. *Non equidem.* A. *Dominam istius quam cernis domus.*
Et agrorum. vt illam acciperem, hæc accepi omnia.
B. *Malum inter grauia, per Deos, grauissimum.*
A. *Molesta est illa cunctis, non tantum mihi,*
Gnato, magisque gnatæ. B. *Vix tolerabile est*
Quod memoras. A. *Plus sat sentio.*
Turture est loquacior.

αὐτὸς μεγαλεῖόν ἐστι διαπεπραγμένος,
ἀπαξελλεβερώσας τὸν τὸ πρόσθ' ἀβέλτερον.

ΓΛΟΚΙΩι.

ΕΠ' ἀμφοτέραν, νῦν ἐπίκληρος ἡ,
μέλλει καθευδήσειν κατεργάσασα μέγα
καὶ περιβόητον ἔργον· ἐκ τῆς οἰκίας
ἐξέβαλε τὴν λυποῦσαν ἣν ἐβούλετο,
ἵν' ἐπιβλέπωσι πάντες εἰς τὸ Κρεωβύλης
πρόσωπον· ἡ δ' εὔγνωστος ἥ γ' ἐμὴ γυνὴ
δέσποινα διὰ τὴν ὄψιν ἣν ἐκτήσατο·
ὄνος ἐν πιθήκοις ἐστὶ δὴ τὸ λεγόμενον
τουτί. σιωπᾶν βούλομαι τὴν νύκτα τὴν
πολλῶν κακῶν ἀρχηγόν· οἴ Κρεωβύλην
Κρεωβύλην Κρεωβύλην λαβεῖν με καὶ
τάλαντα δέκα, γύναιον οὖσαν πηχέως.
εἶτ' ἐστὶ τὸ φρύαγμα πῶς ὑπόστατον;
Δία τὸν Ὀλύμπιον καὶ Ἀθηνᾶν, οὐδαμῶς.
παιδισκάριον θεραπευτικὸν, τάχιον λόγου
ἀπήγαγ'. ἔστω. τίς δ' ἄρ' ἣν ἀντεισάγει;
A. Ἔχω δ' ἐπίκληρον Λαμίαν. οὐκ εἴρηκά σοι
τοῦτ'; B. Οὐχί. A. Ταύτης κυρίαν τῆς οἰκίας,
καὶ τῶν ἀγρῶν. πάντ' ἀντ' ἐκείνης εἴχομεν.
B. Κακὸν, ὦ Ἄπολλον, τῶν χαλεπῶν χαλεπώτατον.
A. Ἅπασι δ' ἀργαλέα 'στιν, οὐκ ἐμοὶ μόνῳ,
υἱῷ, πολὺ μᾶλλον θυγατρί. B. Πρᾶγμ' ἄμαχον λέγεις.
A. Εὖ οἶδα.

VÆNEVNTE. St. Fl. 21. illud οὐ πανταχῆ.

PRÆACCVSANTE. St. Fl. 235. 329.

ALAPIS CÆSA. St. Ecl. 177. St. Fl. 79.

COMPRANDENTIBVS.
St. Fl. 243. 347. 411.

Alterius mala
Cordi alteri quam fuerint vix est dicere.

MILITIBVS. St. Fl. 26.

IVVENIBVS ÆQVALIBVS.

Nanque heroës, vt ferunt,
Nocere quam prodesse sunt promti magis.

ΠΩΛΟΥΜΕΝΩι.

ΠΡΟΕΓΚΑΛΟΥΝΤΙ.

ΡΑΠΙΖΟΜΕΝΗι.

ΣΥΝΑΡΙΣΤΩΣΑΙΣ.

ΚΑΙ τὴν ἐπὶ κακῷ
γινόμενον ἀλλήλων ἀγαπασμὸν οἶος εὗ.

ΣΤΡΑΤΙΩΤΑΙΣ.

ΣΥΝΕΦΗΒΟΙΣ.

ΟΙ γὰρ ἥρωες κακοῖν,
ὡς φασ', ἕτοιμοι μᾶλλον ἢ εὐεργετεῖν.

SICYONIA. St. Fl. 203.

Egregia facies, intus mens miserabilis.

Nauigantium incommoda.

Si nauigans defertur, hostem iudicant:
Si res ceciderit meliùs, onus iniungitur.

TROPHONIO. St. Fl. 61. duæ primæ sententiæ iuxta codices quosdam.

A. *Hospes vocatu'st mihi.* B. *Quî solitus viuere?*
Cuiatis? nanque id scire pol refert coquum.

Palati diuersitas.

Etenim hospitelli qui veniunt ab insulis,
Nutriti magna piscium recentium
In varietate, non solent salsis capi,
Fastidiosa quæ vix delibant gula:
Si quid piperatum, si quid condîtum acriùs,
Hos magis oblectat. si quis contrà venerit
Aut Arcas, aut de terris à pelago absitis,
Hunc pisculentæ patinæ præcipuè iuuant.
Ionicus autem diues iura pinguia
Amat & candaulum & quicquid ad Venerem facit.

AQVALI. St. Fl. 221. 427.

ΣΙΚΥΩΝΙΑι.

Καλὴ μὲν ὄψις, ἐν δὲ δείλαιαι φρένες.
Καὶ· Ὁ πλέων κατιὼν ἔξωθεν· πολέμιος κρίνεται·
ἐὰν ἔχῃ τι μαλακὸν, ἀγαρθύεται.

ΤΡΟΦΩΝΙΩι.

Α. Ξένου τὸ δεῖπνον ἐστὶν· ὑποδοχῆς τίνος,
ποδαποῦ; διαφέρει τῷ μαγείρῳ τοῦτο γάρ·
οἷον τὰ νησιωτικὰ ταυτὶ ξενύδρια
ἐν προσφάτοις ἰχθυδίοις τεθραμμένα,
καὶ παντοδαποῖς, τοῖς ἁλμίοις μὲν οὐ πάνυ
ἁλίσκεθ', ἀλλ' οὕτως παρέργως ἅπτεται·
τὰς δ' ἐνθυλεύσεις καὶ τὰ κεκαρυκευμένα
μᾶλλον προσεδέξατ'. Εἰ δέ τις τοὐναντίον
Ἀρκαδικὸς ἔρχεθ' ἤ τις ἀθάλασσος ξένος
τοῖς ἐκ θαλάσσης λοπαδίοις ἁλίσκεται·
Ἰωνικὸς πλούταξ ὑποστάσεις ποιεῖ,
κάνδαυλον, ὑποβινητιῶντα βρώματα.

ΥΔΡΙΑι.

HYMNIDE. St. Fl. 231.

SVBDITITIO. St. Ecl. 135. 137. St. Fl. 79. 311. 367. 497.

Fortuna res est maximè inscrutabilis.

FRATREM AMANTE. St. Fl. 497.

VVLCANALIBVS. St. Fl. 47. & illud ἐν δῷ.

FALSO HERCVLE.

Affectus omnes exuit vita aspera.

ΥΜΝΙΔΙ.

ΥΠΟΒΟΛΙΜΑΙΩι.

Δυσπαρακολούθητόν τι πρᾶγμ' ἐστὶ τύχη.

ΦΙΛΑΔΕΛΦΩι.

ΧΑΛΚΕΙΟΙΣ.

ΨΕΥΔΗΡΑΚΛΕΙ.

Ἀστεργίαν ἔχει τιν' ὁ σκληρὸς βίος.

ET nonne merito saxis religatum asperis
Vinctumque pingi cernimus Promethea?
Nam quid repertum ab illo? fax. & nîl boni
Præterea: sed quod Dîs credo inuisum omnibus,
Finxit mulieres: proh supremi cælites,

ΑΔΗΛΩΙ.

Εἶτ' οὐ δικαίως προσπεπατταλευμένον
γράφουσι τὸν Προμηθέα πρὸς ταῖς πέτραις;
τί γίνετ' αὐτῷ; λαμπάς. ἄλλο δ' οὐδὲ ἓν
ἀγαθόν. ὃ μισεῖν δ' οἶμ' ἅπαντας τοὺς
θεοὺς,
γυναῖκας ἔπλασεν· ὦ πολυτίμητοι θεοί,

Gentem scelestam. & nuptias aliquis facit?
Facit, inquam miser heu. cupiditates imminent,
Et in iugali mœchus luxurians toro,
Insidiæ hinc, & venena & longe pessimus
Morborum inuidia, quicum perpetuo suam
Ætatem degit mulier.
❧ *Thraces quidem ita sunt omnes, nos autem Getæ*
Eximiè ante omnes: (nanque me quoque indidem
Ortum profiteor) temperanter haud nimis
Agere solemus. ducit vxores decem,
Aut vndecim vnusquisque, multi duodecim.
Quod siquis ductis quinque putâ vel quatuor
Abstineat vltra, Veneris hic expers, miser,
Cælebs habet cognomen istis in locis.
❧ *Perdunt Dî nos maxime*
Quotquot mariti sumus. agendus nam dies
Nunquamnon festus aliquis.
❧ *O Phidia, vero si laborares malo,*
Nimirum vero opus esset & medicamine.
Nunc id cùm non sit, inane medicamen dabo
Ad morbum inanem: tu tibi crede id profore.
Ergo te abstergant vndequaque mulieres,
Aquamque asportent, sed tribus de fontibus,
Qua perfundaris sale permixta & lentibus.
Sat ille purus nullius sceleris sibi
Qui conscit.
❧ *Elimina te hinc: matrem nanque familias*
Quæ casta sit rutilare crines non decet.
❧ *Aqua si sumta verba cœnandum est, satis*
Ego audiendo symbolarum conferam.
❧ *Si solum, Trophime, te omnium mortalium*
In hoc progenuit mater, vt tibi perpetim

ἔθνος μιαρόν. γαμεῖ τις ἄνθρωπος, γαμεῖ;
μάλ' ἄθλιος. λοιπὸν γὰρ αἱ 'πιθυμίαι,
γαμηλίῳ τε μοιχὸς ἐντρυφῶν λέχει·
εἶτα δ' ἐπιβουλαί, φαρμακεῖαι καὶ νόσων
χαλεπώτατος φθόνος, μεθ' οὗ ζῇ πάντα τὸν
βίον γυνή.

Πάντες μὲν οἱ Θρᾷκες, μάλιστα δ' οἱ Γέται
ἡμεῖς ἁπάντων, καὶ γὰρ αὐτὸς εὔχομαι
ἐκεῖθεν εἶναι τὸ γένος, οὐ σφόδρ' ἐγκρατεῖς
ἐσμέν· γαμεῖ γὰρ εἷς τις ἡμῶν ἢ δέκ' ἢ
ἕνδεκα γυναῖκας, δώδεκά τε, πλείους τινές.
ἂν τέτταρας δ' ἢ πέντε γεγαμηκὼς τύχῃ,
κἀποστρέφῃ τις, δυσμενής, ἄθλιος,
ἄνυμφος οὗτος ἐπικαλεῖτ' ἐν τοῖς ἐκεῖ.

Ἐπιτρίβουσι δ' ἡμᾶς οἱ θεοὶ
μάλιστα τοὺς γήμαντας· αἰεὶ γάρ τινα
ἄγειν ἑορτήν ἐστ' ἀνάγκη.

Εἰ μέν τι κακὸν ἀληθὲς εἶχες, Φειδία,
ζητεῖν ἀληθὲς φάρμακον τούτου σ' ἔδει.
νῦν δ' οὐκ ἔχεις· εὕρηκε δὲ κενὸν φάρμακον
πρὸς τὸ κενόν· οἰήθητι δ' ὠφελεῖν τί σε.
περιμαξάτωσάν σ' αἱ γυναῖκες ἐν κύκλῳ,
καὶ περιθειούτωσαν ἀπὸ τριῶν κρουνῶν ὕδωρ·
τούτῳ περιῤῥάναι, ἐμβαλὼν ἅλας, φακούς.
πᾶς ἁγνός ἐσθ' ὁ μηδὲν συνειδὼς κακὸν
αὑτῷ.

Νῦν δ' ἕρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν.

Λυσάμενοι εἰ λογάρια δειπνοῦμεν, μικρὰς
οὐκ ἂν τιθείην συμβολὰς ἀκροώμενος.

Εἰ γὰρ ἐγένου σὺ Τρόφιμε τῶν πάντων μόνος
ὅτ' ἔτικτεν ἡ μήτηρ σ' ἐφ' ᾧ τε διατελεῖν

Agere ita liceret animo vt collibitum foret,
Idque ita futurum si aliquis promisit Deus,
Rectè indignaris. nam rem fecit improbam
Qui te fefellit. sin iisdem legibus
Quibus nos omnes hunc communem spiritum
Hausisti, vt aliquid etiam paratragœdiem,
Ferenda sunt modestè hæc, vt ratio iubet.
Omnis sermonum summa redit istuc, homo es,
Quo nullum est animal quod mutetur celeriùs,
Aut sursum enitens aut deorsum decidens:
Neque pol immeritò: nam naturâ virium
Cùm sit vescarum, res molitur maximas,
Suoque lapsu multa egregia proterit.
At tu quæ amisti, Trophime, non ingentia
Sunt adeò: tum quæ pateris sunt mediocria,
Quo magis hoc triste ferre te modice decet.
Egregia est illa lex Ceorum, Phania;
Qui non quit honestè viuere, ne viuat malè.
Sol, nam Deorum colere te primum decet
Cuius beneficio alios spectamus Deos.
Amice, ne tu quæstum vbique respice.
Hominem vnumquemque, simul in lucem est editus,
Sectatur Genius vitæ qui auspicium facit,
Bonus nimirum: credi enim malum nefas,
Bonæ insessorem vitæ. nam qui sit Deus,
Bonus idem sit necesse est.

Superstitio.

Sint tibi exemplo Syri,
Qui siquem piscem forte manducauerint
Illecti ingluuie, venter continuò ac pedes
Illis tumescunt: tum saccum induti in via
Prosternunt sese prouoluti in stercore,
Vt diuam placent nimio contemtu sui.

περὶ ἀσεῶν

πράττων ἃ βούλει καὶ διευτυχεῖν ἀεί,
καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ᾽ ἐψευσμένος,
ἄτοπόν τε πεποίηκ᾽. εἰ δ᾽ ἐπὶ τοῖς αὐτοῖς νόμοις
ἐφ᾽ οἷσπερ ἡμεῖς ἔσπασας τὸν ἀέρα
τὸν κοινόν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον.
τὸ δὲ κεφάλαιον τῶν λόγων. ἄνθρωπος εἶ,
οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος καὶ πάλιν
ταπεινότητα ζῷον οὐδὲν λαμβάνει·
καὶ μάλα δικαίως. ἀσθενέστερον γὰρ ὂν
φύσει μεγίστοις οἰκονομεῖται πράγμασιν·
ὅταν πέσῃ δὲ, πλεῖστα συντρίβει καλά.
σὺ δ᾽ οὔθ᾽ ὑπερβάλλοντα Τρόφιμ᾽ ἀπώλεσας
ἀγαθά, τά νῦν δ᾽ ἔτ᾽ ἐστὶ μέτριά σοι κακά·
ὡς ἀνὰ μέσον που καὶ τὸ νῦν λυποῦν φέρε.

Καλὸν τὸ Κείων νόμιμόν ἐστι, Φανία·
ὁ δυνάμενός τις ζῆν καλῶς, οὐ ζῇ κακῶς.

Ἥλιε, σὲ γὰρ δεῖ προσκυνεῖν πρῶτον θεῶν,
δι᾽ ὃν θεωρεῖν ἐστὶ τοὺς ἄλλους θεούς.

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει.

Ἅπαντι δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γενομένῳ μυσταγωγὸς τοῦ βίου
ἀγαθός· κακὸν γὰρ δαίμον᾽ οὐ νομιστέον
εἶναι βίον βλάπτοντα χρηστόν· πάντα γὰρ
δεῖ ἀγαθὸν εἶναι τὸν Θεόν.

Παράδειγμα τοὺς Σύρους λαβέ·
ὅταν φάγωσιν ἰχθὺν ἐκεῖνοι διά τινα
αὐτῶν ἀκρασίαν, τοὺς πόδας καὶ γαστέρα
οἰδοῦσιν· εἶτα σακκίον ἔλαβον εἰς θ᾽ ὁδὸν
ἐκάθισαν αὐτοὶ ἐπὶ κόπρου, καὶ τὴν θεὸν
ἐξιλάσαντο τῷ ταπεινῶσαι σφόδρα.

Nonne ex conuictu & compotationibus
Inquirimus cui nostra credamus, pater?
Et nonne magni compotitum se boni
Quis putat, amici si vel vmbram inuenerit?
Nemo sui amans æquo animo fert se despici.
Eheu me miserum, quamnam in partem corporis
Mens nostra se proripuit illo tempore,
Cùm nimium vecors his ego illa prætuli?
Nostri interim
Non est qui curam habuerit extra vnum Deum.
O nox, nam Veneris plurimum tibi obtigit.
Deum verentes in tui aspectu mali.
Mens quippe nostra Deus est.
Impura pestis sese insinuat in loca.
Sim sane stupidus, parcus ego supra modum:
At ille nequam, sumtuosus, præferox.
Sapientium
Virorum est id quod opu'st amicis dicere;
At quidam rerum sese ignaros fictitant,
Pro vero quia verentur vocem mittere.
Quæcunque viuunt atque commune hoc iubar
Aspiciunt, parent hæc voluptati omnia.
Turpe indecora vita, sit dulcis licet.
Diuitias habeo ingentes, atque ideo vocor
Opulentus multis, at beatus nemini.
Homo malignus speciem si induerit boni,
Arcanus laqueus est ad captandum alterum.
Vita in nostra delicias sibi
Facit fortuna.
Sunt quippe Græci minimè inhumanum genus.
Nihil est hominibus suauius quam res loqui
Alienas.

Οὐκ ἐκ ποτῶν καὶ τῆς καθ' ἡμέραν τροφῆς
ζητοῦμεν ὦ πιστεύομεν τὰ τοῦ βίου,
πάτερ; οὐ περιττὸν οἴεται ἐξευρηκέναι
ἀγαθὸν ἕκαστος ἐὰν ἔχῃ φίλου σκιάν;

Οὐδεὶς ἀγαπῶν ἑαυτὸν ἀμελεῖθ' ἡδέως.

Οἴμοι τάλας ἔγωγε, ποῦ ποθ' αἱ φρένες
ἡμῶν ἐκεῖνον ἦσαν ἐν τῷ σώματι
τὸν χρόνον, οὐ ταῦτ', ἀλλ' ἐκεῖν' ᾑρούμενοι;

Οὐκ ἄρα
ἡμῶν ἐφρόντισεν τις ἢ μόνος Θεός.

Ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον ἀφροδίτης ἔχεις.

Φοβούμενοι δὲ θεῖον ἐπὶ τοῦ σοῦ πάθους.

Ὁ νοῦς γὰρ ἡμῶν ὁ θεός.

Εἰς τἀκάθαρτα λοιμὸς εἰσοικίζεται.

Ἐγὼ ἀνόητος, εὐτελὴς ὑπερβολῇ·
ὁ δ' ἄσωτός ἐστι, πολυτελής, θρασὺς σφόδρα.

Ἀνδρῶν σοφῶν
γάρ ἐστι τἀναγκαῖα τοῖς φίλοις λέγειν.
ἔνιοι δὲ φασὶ λανθάνειν τὰ πράγματα,
λέγειν ὀκνοῦντες τὰς ἀληθείας ἀεί.

Ἅπαντ' ὅσα ζῇ καὶ τὸν ἥλιον βλέπει
τὸν κοινὸν ἡμῖν, δοῦλα ταῦτ' ἔσθ' ἡδονῆς.

Ὄνειδος αἰσχρὸς βίος ὅμως κἂν ἡδὺς ᾖ.

Ἐγὼ δὲ πολλὴν οὐσίαν, καὶ πλούσιος
καλοῦμ' ὑπὸ πάντων, μακάριος δ' ὑπ' οὐδενός.

Πρᾶον κακοῦργος σχῆμ' ὑπεισελθὼν ἀνήρ
κεκρυμμένη παγὶς πρόκειται τοῖς πέλας.

Ὡραΐζεθ' ἡ τύχη
πρὸς τοὺς βίους.

Ἕλληνές εἰσιν ἄνδρες οὐκ ἀγνώμονες.

Οὐδὲν γὰρ οὕτως ἡδὺ ἀνθρώποις ἔφυ
ὡς τὸ λαλεῖν τἀλλότρια.

Vultus ingenij index.

At qualis ipse vultu spectandus datur,
A quo prognatus ille est, talis bestia?

Nil agere iniusti, etiam formosos nos facit.

Suspecta pax hæc tanquam amicitia est lupi.

Miles gloriosus.

Necat ille macrum faciens me conuiuijs:
Dicta autem quam sunt cata, quam induperatoria?
Tum vero quam ipse gloriosus, carnifex?

Malorum hominibus hoc initium maximum est,
Bona quæ sunt nimia quod non recte concoquunt.

Egenus modo eras, bone vir, imo mortuus:
Ita subito es opulens factus.

Amicum veritati maximè
Et libertati numen castigatio.

Dura est, Pamphile,
Ingenuæ cum meretrice contestatio.

Vera religio.

Ne tu vel ad aciculam
Vnquam alienam animum adiexis, mi carissime:
Nam iustis factis gaudet omnipotens Deus:
Eoque augere rem sinit laboribus,
Occando, sarriendo noctes & dies.
Deo sacrifica semper ingenio probo,
Neu tu albam vestem magis quam mores induas:
Neu si de cœlo tonerit, fugias protinam,
Here, quippe nullæ conscius culpæ tibi.

Vera religio.

Adducat si quis victimas, ô Pamphile,
Siue ex caprigeno pecore, siue ex bucero,
Siue adeo pecudes alias, aut dono ferat
Paludamentum ex auro, siue ex purpura,
Aut ex ebore, aut smaragdo sigillaria,
Atque his propitium speret adipisci Deum,
Decipitur vanitate mentis credulæ.
Sed oportet ipsum hominem esse puris moribus,

Ἄλλο. Οἷος δὲ καὶ τὴν ὄψιν εἶναι φαίνεται,
ἀφ' οὗ τοιοῦτος γέγονεν, οἷον θηρίον;

Ἄλλο. Τὸ μηδὲν ἀδικεῖν καὶ καλοὺς τιμᾶς ποιεῖ.

Ἄλλο. Λυκοφίλιοι μέν εἰσιν αἱ διαλλαγαί·

Ἄλλο. Σφάττει με, λεπτὸς γίνομ' εὐωχούμενος·
τὰ σκώμματ' οἷα, σοφά τε καὶ στρατηγικά;
οἷος δ' ἀλαζών ἐστιν ἀλιτήριος;

Ἄλλο. Ἀρχὴ μεγίστη τῶν ἐν ἀνθρώποις κακῶν
τὰ γ' ἀγαθὰ λίαν δυσκολαίνουσιν.

Ἄλλο. Ἄνθρωπε, πέρυσι πτωχὸς ἦσθα καὶ νεκρός,
νυνὶ δὲ πλουτεῖς.

Ἄλλο. Ἔλεγχος γὰρ θεὸς
παρρησίᾳ τε τῇ τ' ἀληθείᾳ φίλος.

Ἄλλο. Χαλεπόν, Πάμφιλε,
ἐλευθέρῃ γυναικὶ πρὸς πόρνην μάχη.

Ἄλλο. Μηδὲ βελόνης,
ὦ φίλτατ', ἐπιθυμήσῃς ἀλλοτρίας ποτέ.
ὁ γὰρ Θεός γ' ἔργοις δικαίοις ἥδεται·
ποιοῦντα δ' ἐᾷ τὸν ἴδιον ὑψῶσαι βίον,
τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
Θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
μὴ λαμπρὸς ὢν ταῖς χλαμύσιν ὡς τῇ καρδίᾳ.
βροντῆς ἀκούσας μηδαμῶς πόρρω φύγῃς,
μηδὲν συνειδὼς αὐτὸς αὑτῷ, δέσποτα.

Ἄλλο. Εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Πάμφιλε,
ταύρων τε πλῆθος ἢ ἐρίφων, ἢ νὴ Δία
ἑτέρων τοιούτων, ἢ κατασκευάσματα
χρυσᾶς ποιήσας χλαμύδας ἤτοι πορφυρᾶς,
ἢ δι' ἐλέφαντος ἢ σμαράγδου ζώδια,
εὔνουν νομίζει τὸν Θεὸν καθιστάναι,
πλανᾶτ' ἐκεῖνος καὶ φρένας κούφας ἔχει·
δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,

Non felem virginalem, non adulterum;
Non furem, non qui occidit quæsti gratia.
Nec acuis filum Pamphile concupiueris,
Quando ipse præsens Deus inspectat omnia.
❧ *Quærendûm liberûm*
Legitimûm causa do tibi natam meam.
❧ *Nam nemo nouit quo sit exortus satu,*
Sed suspicamur omnes hoc aut credimus.

Fortuna bona. ❧ *Quam vero hoc Alexādreum? si quem forte quærito,*
Idem præsto erit continuò: transeundus si locus
Aliquis per marina spatia, peruius fiet statim.
❧ *Culpo te, quod recta dicam cùm tibi, attendis nihil.*

Parasitus. ❧ *Ego homines nare suspendens, eos*
Ipsos pro præsepi habeo.
❧ *Expilet diues me quam pauper mauelim:*
Facilius fertur validiorum iniuria.
❧ *Difficile est, Phania,*
Destruere subito longam consuetudinem.
❧ *Cùm res prolixæ nobis se dant largiter,*
Fortunæ nemo laudes ac grates agit:
At quoties res aduorsæ diuidias ferunt,
Calumniari nemo fortunam abstinet.
❧ *Fidem non reperit inopis veriuerbium.*
❧ *Nil homine egeno est vsquam infortunatius,*
Qui se labore macerat atque insomnia,
Suæ vt vescatur alter operæ præmio.
❧ *O mala senectus, aduorsatrix corporis*
Humani, despoliatrix elegantiæ:
Tu vegetos artus squallido turpas situ,
Tu celeritatem mutas pigritudine.
❧ *Amicum munerare me ditem piget,*
Ne videar aut desipere aut dando poscere.

μὴ παρθένους φθείροντα καὶ μοιχώμενον,
κλέπτοντα καὶ σφάττοντα χρημάτων χάριν·
μηδὲ βελόνης ἔναμμ' ἐπιθυμήσῃς Πάμφιλε·
ὁ γὰρ Θεὸς βλέπει σε πλησίον παρών.

Ἄλλ. Παίδων ἀπόρῳ τῶν γνησίων
δίδωμί σοί γε τὴν ἐμαυτοῦ θυγατέρα.

Ἄλλ. Αὐτὸν γὰρ οὐδεὶς οἶδε τοῦ ποτ' ἐγένετο·
ἀλλ' ὑπονοοῦμεν πάντες ἢ πιστεύομεν.

Ἄλλ. Ὡς Ἀλεξανδρῶδες ἤδη τοῦτο· κἂν ζητῶ τινα,
αὐτόματος οὗτος παρέσται· κἂν διελθεῖν δηλαδὴ
διὰ θαλάσσης δέῃ τόπον τιν', οὗτος ἔσται μοι βατός.

Ἄλλ. Μέμφομαί σοι τοῦθ' ὅτι χρηστὰ σοί με λέγοντ' οὐ προσδοκᾷς.

Ἄλλ. Ἐγὼ γὰρ ἀνθρώπους ῥινῶν φάτνην ἔχω
αὐτοὺς ἐκείνους.

Ἄλλ. Ἐμὲ δ' ἀδικείτω πλούσιος καὶ μὴ πένης·
ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα.

Ἄλλ. Ἔργον ἐστί, Φανία,
μακρὰν συνήθειαν βραχεῖ λῦσαι χρόνῳ.

Ἄλλ. Ὅταν τις ἡμῶν ἀμέριμνον ἔχῃ τὸν βίον,
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν·
ὅταν δὲ λύπαις ἐπιπέσῃ καὶ πράγμασιν,
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν.

Ἄλλ. Πένης λέγων τἀληθὲς οὐ πιστεύεται.

Ἄλλ. Πένητος οὐδέν ἐστι δυστυχέστερον·
ἅπαντα μοχθεῖ κἀγρυπνεῖ κ' ἐργάζεται
ἵν' ἄλλος ἐλθὼν μεταλάβοι κτήσαιτό τε.

Ἄλλ. Ὦ γῆρας ἐχθρὸν σωμάτων ἀνθρωπίνων,
ἅπαντα συλῶν καλὰ τῆς εὐμορφίας,
καὶ μεταχαράσσον τὴν μὲν ἀνδρείαν μελῶν
εἰς ἀπρεπές, τὸ δὲ τάχος εἰς ὄκνον πολύν.

Ἄλλ. Αἰσχύνομαι πλουτοῦντι δωρεῖσθαι φίλῳ·
μὴ μ' ἄφρονα κρίνῃ καὶ διδοὺς αἰτεῖν δοκῶ.

Noli indagare quid Deus sit: impium est
Eum discupere scire qui sciri neuolt.

Aurum spectatur ignis testimonio:
At amicus certus in re incerta cernitur.

Amico qui assentatur læto tempore,
Non ille amico amicus est, sed tempori.

Absenti amico gratam redde gratiam:
Nanque id solidius quam quod præsenti datur.

Quamuis amico arcanum ne concreduis.

Amantes vita amicos qui mentem excolis.

Qui fraudem iniustam machinatur alteri,
Suo ipse damno antecapit euentum mali.

Iniusta ex opera siquid quæsti sumseris,
Id arrabonem crede esse infortunij.

Seruire, serue, ei metue, qui seruus fuit.
Iugo absoluti semet non norunt boues.

Minùs vt sis seruus, serui liberaliter.

Quicunque est liber vni legi obtemperat:
Seruus duobus, scilicet legi atque hero.

Habeas vicinum si vicinus improbum,
Malo nocebit, aut docebit te malum.
At si probo vicinus vicino fuas,
Mutuiter & docebis & disces bona.

Lex obseruata, lex est; præterea nihil:
Non obseruata lex est simul & carnifex.

Lex quem vereri se scit, eum non territat.

Vim legis experiundo ne discas vide:
Sed antequam ad te veniat, anticipa metu.

Si noscitare te vis, itiner cùm facis,
Viam secus monumenta quæ stant aspice:
Nanque ibi dispulueruntur excisa ossua
Regum, sapientumque atque summorum virûm,

Tíς

Τίς ἐστιν ὁ Θεός, οὐ θέλης σὺ μανθάνειν·
ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.

Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί·
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται.

Καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλον,
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου.

Ἀπόντι μᾶλλον εὐχαριστίαν ποιοῦ·
ὃ γὰρ παρόντι γίνετ' εὐτονώτερον.

Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ.

Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις.

Ὁ γὰρ ἀδίκως τι καθ' ἑτέρου ζητῶν κακὸν
αὐτὸς προπάσχει τοῦ κακοῦ τὴν ἔκβασιν.

Ὅταν ἐκ πονηροῦ πράγματος κέρδος λάβῃς,
τοῦ δυστυχεῖν νόμιζέ σ' ἀρραβῶν' ἔχειν.

Δούλῳ γενομένῳ δοῦλε δουλεύειν φοβοῦ·
ἀμνημονεῖ γὰρ ταῦρος ἀργήσας ζυγοῦ.

Ἐλευθέρως δούλευε, δοῦλος οὐκ ἔσῃ.

Ἐλεύθερος πᾶς ἑνὶ δεδούλωται νόμῳ·
δυσὶν δὲ δοῦλος, καὶ νόμῳ καὶ δεσπότῃ.

Ἐὰν πονηροῦ γείτονος γείτων ἔσῃ,
πάντως παθεῖν πονηρὸν, ἢ μαθεῖν σε δεῖ·
ἐὰν δ' ἄρ' ἀγαθοῦ γείτονος γείτων ἔσῃ,
ὡς προσδιδάσκεις ἀγαθὰ καὶ προσμανθάνεις.

Νόμος φυλαχθεὶς οὐδέν ἐστιν ἢ νόμος·
ὁ μὴ φυλαχθεὶς καὶ νόμος καὶ δήμιος.

Νόμον φοβηθεὶς μὴ ταραχθήσῃ νόμῳ.

Μὴ πάσχε πρῶτον τὸν νόμον καὶ μάνθανε·
πρὸ τοῦ παθεῖν σε, τῷ φόβῳ προλαμβάνου.

Ὅταν εἰδέναι θέλῃς σεαυτὸν ὅστις εἶ,
ἔμβλεψον εἰς τὰ μνήμαθ' ὡς ὁδοιπορεῖς·
ἐνταῦθ' ἔνεστιν ὀστέα καὶ κούφη κόνις,
ἀνδρῶν βασιλέων καὶ τυράννων καὶ σοφῶν,

Sibi qui placuere nobilitate, opulentia,
Pulchraque ſpecie & formæ claritudine,
Quorum nil potuit tempori contendere.
Omnes eaſdem ſubiêre Orcinas fores:
Hæc tu contemplans ipſe te qui ſis vide.

❧ *Oratio homini medica eſt mœſtitudinis:*
Nam quod conducit animo, ſola hæc obtinet:
Atque vt ſapientum vetus habet ſententia,
Blandum eſt venenum.

❧ *Noli, homo, nequicquam plangere & requirere*
Opes, vxorem, prolem egregiam liberûm:
Nam Fors vtenda quæ dedit, Fors abſtulit.

❧ *Ne poſce, homo natus, à Deo indolentiam,*
Sed potius animum æquanimem & tolerantem mali.
Nam vitam expetere ſine mœrore perpetim,
Hoc eſt Deum eſſe velle aut eſſe emortuum.
Solare alienis potiùs ex damnis tua.

❧ *Qui patrem incilat, voce maledicit patri,*
At in hoc ſe parat vt ipſis maledicat Deus.

❧ *Qui iuuenis opera non alit matrem ſua,*
Is ab radice ramus eſt inutilis.

καὶ μέγα φρονούντων ἐπὶ γένει καὶ χρήμασιν,
αὐτῶν τε δόξῃ, τῷ τε κάλλει σωμάτων·
καὶ οὐδὲν αὐτῶν τῶν δ' ἐπήρκεσεν χρόνον.
κοινὸν τὸν ᾅδην ἔσχον οἱ πάντες βροτοί·
πρὸς ταῦθ' ὁρῶν γίνωσκε σαυτὸν, ὅστις εἶ.

Ἄλλο. Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει ἰάματα.
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον.

Ἄλλο. Ἄνθρωπε, μὴ στέναζε, μὴ λυποῦ μάτην,
χρήματα, γυναῖκα καὶ τέκνων πολλῶν στερείς·
ἃ σοι τύχη κέχρηκε, ταῦτ' ἀφείλετο.

Ἄλλο. Ἄνθρωπος ὢν μηδέποτε τὴν ἀλυπίαν
αἴτου παρὰ Θεοῦ, ἀλλὰ μακροθυμίαν.
ὅταν γὰρ ἄλυπος διὰ τέλους εἶναι θέλῃς,
ἢ δεῖ Θεόν σε εἶναι ἢ τάχα δὴ νεκρόν·
παρηγορεῖ γὰρ τὰ κακὰ δι' ἑτέρων κακῶν.

Ἄλλο. Ὁ λοιδορῶν τὸν πατέρα, δυσφημεῖ λόγῳ,
τὴν εἰς τὸ θεῖον γὰρ μελετᾷ βλασφημίαν.

Ἄλλο. Ὁ μὴ τρέφων τεκοῦσαν ἐκ τέχνης νέος,
ἄκαρπός ἐστιν οὗτος ἀπὸ ῥίζης κλάδος.

PHILEMONIS

MAIORIS

DETECTA. St. Fl. 415. 467.

EXSVLE. St. Fl. 343. alij libri Apollinem inſcribunt.

MORTEM SIBI CONSCISCENTE. St. Ecl. 137.

DELPHIS.

Permiſſio mali minoris.

CVnctis hominibus bene pol feciſti, Solon:
Nam te cõmemorant eſſe auctorem principem
Adeo popularis ac ſalutaris rei:
(Nanque hæc conueniens mihi, Solon, oratio eſt:)
In vrbẽ iuuenes cùm videres plurimos,
Quibus deeſſet nîl naturæ partium,
Libidinantes in ea quæ attingi nefas,
Emtas mulieres certis ſtatuiſti in locis,

ὡς σεμνόν ἐστι τοῦτο καὶ νενομισμένον,
καὶ τῶν θεῶν εὕρημα· τὰς δ' ἄλλας τέχνας
οὐδεὶς θεῶν κατέδειξεν, ἀλλ' ἄνδρες σοφοί·
τὸ γὰρ παρασιτεῖν εὗρεν ὁ Ζεὺς ὁ Φίλιος,
ὁ τῶν θεῶν μέγιστος ὁμολογουμένως·

Nanque ille vulgo ſeſe inſinuat in domos,
Locupletes, paupertinas ſine diſcrimine:
Atque vbi concinne ſtratum lectum viderit,
Appoſitam menſam rerum cui deſit nihil
Quæ ſunt neceſſe, tum ille accumbens ſuauiter
Se prandio delectat, manducat, bibit,
Domum regreditur, & quidem ſine ſymbola.
Idem ego nunc facio: nanque vbi lectos videro
Stratos & menſas exornatas opipare,
Foremque apertam, protinus ſilentio
Ingredior, & me comem facio, id vnice
Curans, moleſtus ne ſim compotoribus:
Tum poſtquam appoſitis memet ſatiaui ac bibi,
Domum regredior, vt, is quem dixi, Iuppiter.
Iam vero rem fuiſſe honeſtam antiquitus
Et glorioſam, hoc argumento intelligas.
Hæc ciuitas eximio mactans Herculem
Honore curiatim ſacra illi facit:
Atque ad ea ſacra nunquam paraſitos Deo
Aut vrnæ ſorte aut forte fortuita accipit
Qualeſcunque homines, cura ſed magna legit
Viros duodecim ciuium è primoribus
Et de familijs natos optimatibus,
Queis ſit domi res, quique honeſte vixerint.
Exinde factum eſt Herculem imitantes viri
Opulenti paraſitos vt deligerent ſibi:
At in eo peccatum, quod non feſtiuiſſimos
Legerunt, ſed qui noſſent aſſentarier,
Laudare cuncta: vſqueadeo & ſiquis rancidum
Silurum aut raphani ructet graueolentiam,
Pranſum eſſe dicunt violas permixtas roſis.
Quod ſiquem iuxta accumbens diſplodat nates,

ὅτε γὰρ εἰς τὰς οἰκίας εἰσέρχεται,
οὐχὶ διακρίνας τὴν πενιχρὰν ἢ πλουσίαν·
οὐ δ' αὖ καλῶς ἐστρωμένην κλίνην ἴδῃ,
παρακειμένην τε τὴν τράπεζαν, πάνθ' ἃ δεῖ
ἔχουσαν ἤδη κατακλιθεὶς μάλα κοσμίως,
ἀριστίσας θ' ἑαυτὸν, εὖ τραγὼν, πιὼν,
ἀπέρχετ' οἴκαδ', οὐ καταβαλὼν συμβολάς.
κἀγὼ ποιῶ νῦν τοῦτ'· ἐπὰν κλίνας ἴδω
ἐστρωμένας καὶ τὰς τραπέζας εὐπρεπεῖς,
καὶ τὴν θύραν ἀνεῳγμένην, εἰσέρχομαι
ἤδη σιωπῇ, καὶ ποιήσας εὐτελῆ
ἐμαυτὸν, ὥστε μὴ ἐνοχλεῖν τὸν συμπότην,
πάντων ἀπολαύσας τῶν παρατεθέντων, πιὼν,
ἀπέρχομ' οἴκαδ' ὥσπερ ὁ Ζεὺς ὁ Φίλιος.
ὅτι δ' ἦν τὸ πρᾶγμ' ἔνδοξον αἰεὶ καὶ καλὸν,
ἐκεῖθεν ἂν γνοίη τις ἔτι σαφέστερον·
τὸν Ηρακλέα τιμῶσα λαμπρῶς ἡ πόλις,
ἐν ἅπασι δήμοις θυσίας ποιουμένη,
εἰς τὰς θυσίας ταύτας παρασίτους τῷ θεῷ
οὐ πώποτ' ἀπεκλήρωσεν, οὐδὲ παρέλαβεν
εἰς ταῦτα τοὺς τυχόντας, ἀλλὰ κατέλεγεν
ἐκ τῶν πολιτῶν δώδεκ' ἄνδρας ἐπιμελῶς
ἐκλεξαμένη τοὺς ἐκ δυναστῶν γεγονότας,
ἔχοντας οὐσίας, καλῶς βεβιωκότας·
εἶθ' ὕστερον τὸν Ηρακλέα μιμούμενοι
τῶν εὐπόρων τινὲς, παρασίτους ἑλόμενοι
τρέφειν, παρεκάλουν οὐχὶ τοὺς χαριεστάτους
ἐκλεγόμενοι, τοὺς δὲ κολακεύειν δυναμένους
καὶ πάντ' ἐπαινεῖν· οἷς ἐπειδὰν προσερύγοι
ῥαφανίδα καὶ σαπρὸν σίλουρον καταφαγὼν,
ἴα καὶ ῥόδ' ἔφασαν αὐτὸν ἠριστηκέναι.
εἰ δ' ἂν ἀποπάρδῃ μετά τινος κατακείμενος,

Opus est admotis alter dicat naribus,
Tam dulce suffimentum, quæso, vnde est tibi?
Per illos nulla vtentes cum verecundia
Res bona & honesta cœpit infamarier.

INCERTA COMOEDIA. ST. FL. 303.

ARISTOPHONTIS

BABIA. ST. FL. 387.

MEDICO. ST. FL. 43.

NVnc volo illi enuntiare quo sim ingenio præditus.
Siquis cœnã præbet, adsum primus. ideo à iuuenibus
Iusculum appellor: quadrupedem siquem sustolli est opus
Insolentiæ ergo, Argiuum me luctatorem putes.
Si domus insultanda est, aries: scalas si opus ascendere,
Capaneus sum: plagis ferendis incus: aduersus alapas
Telamo: pulcher si vexandus aliquis, fumum dixeris.

τούτῳ προσάγειν τὴν ῥῖνα δεῖ αὐτῷ φράσαι,
πόθεν τὸ θυμίαμα τοῦτο λαμβάνεις;
διὰ τοὺς τοιούτους τοὺς ἀσελγῶς χρωμένους
τὸ τίμιον καὶ τὸ καλὸν αἰσχρόν ἐστι νῦν.

ΑΔΗΛΩι.

ΑΡΙΣΤΟΦΩΝΤΟΣ

ΒΑΒΙΑι.

ΙΑΤΡΩι.

ΒΟύλομαι δ' αὐτῷ προειπεῖν οἷός εἰμι τοὺς τρόπους·
ἄν τις ἑστιᾷ, πάρειμι πρῶτος, ὥστ' ἤδη πάλαι
διὰ νέων Ζωμὸς καλοῦμαι· δεῖ τιν' ἄρασθαι μέσον
τῶν παροινούντων; παλαιστὴν νόμισον Ἀργεῖόν μ' ὁρᾶν.
προσβαλεῖν πρὸς οἰκίαν δεῖ; κριός· ἀναβῆναί τι πρὸς
κλίμακα; Καπανεύς· ἐὰν δεῖ ὑπομένειν πληγάς, ἄκμων·
κονδύλους πλάττειν δὲ Τελαμών· τοὺς καλοὺς πειρᾶν, καπνός.

CALONIDE.

ITerum qui uxorem ducit, pereat pessime.
Nam primam siquis duxit, peccauit nihil,
Vt qui ignoraret quantum in matrimonio
Situm mali esset. at qui ducit alteram,
Jn notam pestem se irretiuit denuo.

DEPOSITO.

TVrpe est pauperiem comitans imbecillitas.

PYTHAGORISTA.

AD nîl vescendum & tolerandam esuriginem
Est Tithymallus alter aut Philippides:
Ad aquam bibendam, rana: edendis oleribus
Porroque, eruca: illuuie, strigmentum, scabres:
Merula degendam ad hiemem sub Ioue frigido:
Æstu ferendo & fabulis meridie
Fandis, cicada: ad olei inusum, puluis est:
Ad ambulandum mane, sed sine calceis,
Grus: ad ducendam noctem insomnem, noctua.
At nonne iure ac merito de sententia
Consentium Deorum damnatu'st Amor?

ΚΑΛΩ.

ΚΑΛΛΩΝΙΔΗι.

Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερον
θνητῶν· ὁ μὲν γὰρ πρῶτος, οὐδὲν ἠδίκει·
οὔπω γὰρ εἰδὼς οὐκ οἶδ' ἦν κακὸν
γυναῖκα λαμβάνειν· ὁ δ' ὕστερον λαβὼν
Εἰς πρόδηλον εἰδὼς αὐτὸν ἐνέβαλεν κακόν.

ΠΑΡΑΚΑΤΑΘΗΚΗι.

Αἰσχρὸν γενέσθαι πτωχὸν ἀσθενῆ θ' ἅμα.

ΠΥΘΑΓΟΡΙΣΤΗι.

Πρὸς μὲν τὸ πεινῆν ἐσθίειν τε μηδὲ ἓν,
νόμιζ' ὁρᾶν Τιθύμαλλον ἢ Φιλιππίδην·
ὕδωρ δὲ πίνειν, βάτραχος· ἀπολαῦσαι θύμων
λαχάνων τε, κάμπη· πρὸς τὸ μὴ λοῦσθαι, ῥύπος.
ὑπαίθριος χειμῶνα διάγειν, κόψιχος·
πνῖγος ὑπομεῖναι καὶ μεσημβρίᾳ λαλεῖν,
τέττιξ· ἐλαίῳ μήτε χρῆσθαι μήθ' ὁρᾶν,
κονιορτός· ἀνυπόδητος ὄρθρου περιπατεῖν,
γέρανος· καθεύδειν μηδὲ μικρὸν, νυκτερίς.
Εἶτ' οὐ δικαίως ἔστ' ἀπεψηφισμένος
ὑπὸ τῶν θεῶν τῶν δώδεκ' Εἰκότως Ἔρως;

Ooooo

Nam ſeditiones atque turbelas dabat
Vitam illic agitans. ergo cùm eſſet arrogans,
Confidens, alas puero præcidi iubent,
Nempe ad cœleſtes ne vnquam reuolaret domos.
Et ſic eum ad nos demiſerunt exſulem:
Alas quas habuit, dederunt has Victoriæ
Ferendas, ſpolium ex hoſte ſuperato inclitum.

⁂ A. *Narrabat mortuorum cùm intraſſet domos*
Ibi ſingulos vidiſſe, at multum à cæteris
Differre Pythagoriſtas. nam Ditem patrem
Hos ſibi perpetuo coëpulones ſumere,
Pietatis ergo. B. *Facilem commemoras Deum,*
Qui oblectet ſordidorum ſe commercio.

⁂ *Edunt*
Olera: pro potu nîl niſi vſurpant aquam:
Iam vero illuuiem, pallium, pediculos,
Tolerare nemo eſt iuniorum qui queat.

INCERTA. St. Fl. 389.

ἐτάραττε κἀκείνους γὰρ ἐμβάλλων στάσεις,
ὅτ' ἦν μεθ' αὐτῶν· ὡς δ' λίαν ἦν θρασὺς
καὶ σοβαρὸς, ἀποκόψαντες αὐτοῦ τὰ πτερὰ,
ἵνα μὴ πέτηται πρὸς τὸν οὐρανὸν πάλιν,
δεῦρ' αὐτὸν ἐφυγάδευσαν ὡς ἡμᾶς κάτω·
τὰς δ' πτέρυγας ἃς εἶχε τῇ Νίκῃ φέρειν
ἔδοσαν περιφανὲς σκῦλον ἀπὸ τῶν πολεμίων.

A. Ἔφη τε καταβὰς εἰς δίαιταν τῶν κάτω
ἰδεῖν ἑκάστοις· διαφέρειν δ' πάμπολυ
τοὺς Πυθαγοριστὰς τῶν νεκρῶν· μόνοισι γὰρ
τούτοισι τὸν Πλούτωνα συσσιτεῖν ἔφη
δι' εὐσέβειαν. B. Εὐχερῆ θεὸν λέγεις,
εἰ τοῖς ῥύπου μεστοῖσιν ἥδεται ξυνών.

Ἐσθίουσί τε
λάχανά τε καὶ πίνουσιν ἐπὶ τούτοις ὕδωρ·
φθεῖρας δὲ καὶ τρίβωνα τήν τ' ἀλουσίαν
οὐδεὶς ἂν ὑπομείνειε τῶν νεωτέρων.

ΑΔΗΛΩι.

CHAEREMONIS

ALPHESIBOEA.

Pulchritudo.

EGregia ſpecies candicantis corporis
Tanquam ſiderea luce radiabat nitens:
At virginalis pudor affuſa molliter
Niueum colorem temperabat purpura:
Tum cericolores, tanquam ſimulachri, comæ
Interpolatæ criſpulis cincinnulis
Luxuriabantur auris alludentibus.

ACHILLE THERSITEN OCCIDENTE.

ST. ECL. 137. vbi nomen tragœdiæ deeſt, in alijs libris adſcriptum.

PRincipium non eſt à me, qui me vindico.

OENEO.

Virginum luſus.

ALia iacebat candidas papillulas
Oſtendens Lunæ retroiecto pallio:
Alia chorea læuum nudarat latus,

ΧΑΙΡΗΜΟΝΟΣ

ΑΛΦΕΣΙΒΟΙΑι.

ΚΑΙ σώματος μὲν ὄψις ἐξηυγάσατο
στίλβοντι λευκῷ χρώματι διαπρεπής·
αἰδὼς ἐπερρύθμιζεν ἠπιώτατον
ἐρύθημα λαμπρῷ προστιθεῖσα χρώματι·
κόμη δ' κηροχρῶτες ὡς ἀγάλματος
αὐτοῖσι βοστρύχοισιν ἐκπεπλασμένοι
ξουθοῖσιν ἀνέμοις ἐντρύφων φορούμενοι.

ΑΧΙΛΛΕΙ ΘΕΡΣΙΤΟΚΤΟΝΩι.

ΩΣ οὐχ ὑπάρχων, ἀλλὰ τιμωρούμενος.

ΟΙΝΕΙ.

ΕΚειτο γὰρ ἡ μὲν λευκὸν εἰς σεληνόφως
φαίνουσα μαστὸν λελυμένης ἐπωμίδος·
τῆς δ' αὖ χορεία λαγόνα τὴν ἀριστερὰν

Nudum ſideribus exhibens ſpectaculum,
Viuentem effigiem. lacteus viſu color
Contra certabat vmbris nigricantibus:
Monſtrabat vlnas alia & formoſas manus:
Alia obtegebat tenera colli columina:
Alia diſrupto tenuis interulæ ſinu
Femur oſtendebat. arridente Gratia
Mihi ſe imprimebat Spem non adducens Amor.
Et iam voluuntur lapſabundæ per inulas,
Jam nigricolores violas populantes legunt,
Crocique florem qui purpureis ſupparis
Iniectus rutilum Solis imitatur iubar.
Tum vero Perſa ſuaue virens amaracus
Jn molli prato collum protendit ſuum.

SAVCIO.

QVis non amantes ſolos credat viuere,
Quos bellatores eſſe oportet maximos,
Contra labores corpore inuictiſſimo,
Ad res cupitas incumbentes ſedulo,
Audaces, irrequietos, promtos, opiparos,
Jn rebus arctis ad videndum acerrimos?

ἔλυσε· γυμνὴ δ' αἰθέρος θεάμασι
ζῶσαν γραφὴν ἔφαινε· χρῶμα δ' ὄμμασι
λευκὸν μελαίνης ἔργον ἀντηύγει σκιᾶς.
ἄλλη δ' ἐγύμνου καλλίχειρας ὠλένας·
ἄλλη προσαμπέχουσα θῆλυν αὐχένα·
ἡ δ' ἐκραγέντων χλανίδων ὑπὸ πτύχας
ἔφαινε μηρόν, κἀξεπεσφραγίζετο
ὥρας γελώσης χωρὶς ἐλπίδων ἔρως·
ὑπνωμέναι δ' ἔπιπτον ἑλενίων ἔπι,
ἴων τε μελανόφυλλα συλῶσαι πτερά,
κρόκον θ' ὃς ἡλιῶδες εἰς ὑφάσματα
πέπλων ἰεὶς εἴδωλον εἰσομόργνυται·
Πέρσης δὲ θαλερὸς ἐκτραφεὶς ἀμάρακος
λειμῶσι μαλακεῖς ἐξέτεινεν αὐχένα.

ΤΡΑΥΜΑΤΙΑΣ.

Πῶς οὐχὶ φησὶ τοὺς ἐραστὰς ζῆν μόνους,
οὓς δεῖ τὸ πρῶτον μὲν στρατηγικωτάτους
εἶναι, πονεῖν τε δυναμένους τοῖς σώμασι
μάλιστα, προσεδρεύειν τ' ἀρίστους τῷ πόθῳ,
ποιητικούς, ἰταμούς, προθύμους, εὐπόρους
ἐν τοῖς ἀπόροις βλέπειν ἀθρητικωτάτους;

INCERTA COMOEDIA. St. Ecl. 141. 145. St. Fl. 17. 29. ter. 81. 105. bis. 113. 177. 283. 339. 341. 347. 367. 481. vbi & quod ſequitur Chæremoni ſunt qui tribuant.

Bibentibus hæc à vino præberi ſolent,
Riſus, docilitas, conſilium, ſapientia.
Nemo qui ſapiat rebus exiguis dolet.
Vinum bibentis moribus ſe attemperat.

MACHONIS

INCERTA COMOEDIA.

Iocus in ſeipſum.

Miſellus fidicen, artis opprobrium ſuæ,
Ædificaturus amicum conferret ſibi
Lapides rogauit; Facile plures, inquiens,
Mox reddam cùm artis ſpecimen populo oſtendero.

Dij gentium.

Mylona forte Dorio fidicen venerat:
Nec vſquam conducendum diuerſorium

ΑΔΗ-

ΑΔΗΛΩΙ.

Τοῖς χρωμένοις οἶνος παρασκευάζεται
γέλωτα, σοφίαν, εὐμαθίαν, εὐβουλίαν.

Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός.

Τῶν χρωμένων γὰρ τοῖς τρόποις κεράννυται.

ΜΑΧΩΝΟΣ

ΑΔΗΛΩΙ.

Κακός τις, ὡς ἔοικε, κιθαρῳδὸς σφόδρα,
τὴν οἰκίαν μέλλων αὖ οἰκοδομεῖν, φίλον
αὐτοῦ λίθους ἤτησεν· ἀποδώσω ἐγὼ
αὐτῷ πολὺ πλείους, φησίν, ἐκ τῆς δείξεως.

Ὁ κερματοποιὸς Δωρίων ποτ' εἰς Μύλω-
ν' ἐλθὼν κατάλυσιν οὐδαμοῦ μισθώσιμον

Reperire poterat. igitur in fano ſedet,
Quod propter vrbis ipſa adſtabat mœnia:
Vbi cùm videret ſacra facientem popam,
Per te Mineruam, per Deos, inquit, precor,
Dic bone vir, templum hoc cui ſacratum eſt numini?
Reſpondens ille; Eſt, ait, hoc Iouineptunium:
Quis ergo iam mortalis, inquit Dorio,
Hoſpitium ſperet vrbe in illa, quæ Deos
Duos compingit vnum in contubernium?

Qualis vixit moritur.

Philoxenus poëta dithyrambicus
Comedo fuiſſe fertur egregiiſſimus.
Siculis Syracuſis qui cum olim polypum
Emiſſet bicubitali magnitudine,
Probe conditum totum prope deglutiit:
Caput ſupererat. mox ventriculi cruditas
Grauem conciuit morbum. medicus aduenit:
Qui cùm videret quanto cum periculo
Homo ægrotaret; Si quid, ait, Philoxene,
Tibi ordinatum minus eſt in rebus tuis,
Hoc age quamprimum, vt hora abiturus ſeptima.
Reſpondit ille: Rebus prouidi meis
Iampridem, medice, finemque impoſui omnibus.
Ope Diuûm dithyrambos ætatis ſuæ
Relinquo, præterea coronis inclitos:
Tutores his do, facio, meas collacteas
Muſas ipſamque Venerem ſimul & Liberum.
Hæc teſtamenti ſumma eſt. nunc quando otium
Mihi non concedit ille Timothei Charon
Ex Niobe magna voce proclamans, Aquas:
Vocatque nigra Parca ineluctabilis,
Vt ad inferos res cunctas deportem meas,
Age, huc adferte quod reliquum eſt de polypo.

δυνάμενος εὑρεῖν, ἐν τεμένει καθίσας τινὶ,
ὃ παρὰ τὴν πύλην ἦν κατὰ τύχην ἱδρυμένον,
ἰδών τε πῃ θύοντα τὸν νεωκόρον,
πρὸς τῆς Ἀθηνᾶς καὶ θεῶν, τίνος φράσον
ἐστὶν ὁ νεώς, βέλτιστέ, φησιν, οὑτοσί;
ὁ δ' εἶπεν αὐτῷ, Ζηνοποσειδῶνος, ξένε.
ὁ Δωρίων δέ, πῶς ἂν οὖν ἐνταῦθ', ἔφη,
δύναιτο καταγώγιον ἐξευρεῖν τις, οὗ
καὶ τοὺς θεοὺς φάσκουσιν οἰκεῖν σύνδυο;
Ὑπερβολῇ λέγουσι τὸν Φιλόξενον
τὸν διθυράμβων τὸν ποιητὴν γεγονέναι
ὀψοφάγον. εἶτα πουλύποδα πηχῶν δυεῖν
ἐν ταῖς Συρακούσαις ποτ' αὐτὸν ἀγοράσαι,
καὶ σκευάσαντα καταφαγεῖν ὅλον σχεδὸν,
πλὴν τῆς κεφαλῆς. ἁλόντα δ' ὑπὸ δυσπεψίας
κακῶς ἔχειν σφόδρ'. εἶτα δ' ἰατροῦ τινὸς
πρὸς αὐτὸν εἰσελθόντος, ὃς φαύλως πάνυ
ὁρῶν φερόμενον αὐτὸν εἶπεν, εἴ τί σοι
ἀνοικονόμητόν ἐστι, διατίθου ταχύ,
Φιλόξεν'· ἀποθανῇ γὰρ ὥρας ἑβδόμης.
κἀκεῖνος εἶπε· τέλος ἔχει τὰ πάντα μοι,
ἰατρέ, φησι, καὶ διῳκήκηται πάλαι.
τοὺς διθυράμβους σὺν θεοῖς καταλιμπάνω
ἠνδρωμένους καὶ πάντας ἐστεφανωμένους·
οἷς ἀνατίθημι ταῖς ἐμαυτοῦ συντρόφοις
Μούσας, Ἀφροδίτην καὶ Διόνυσον ἐπιτρόπους.
ταῦθ' αἱ διαθῆκαι διασαφοῦσιν. ἀλλ' ἐπεὶ
ὁ Τιμοθέου Χάρων σχολάζειν μ' οὐκ ἐᾷ
οὑκ τῆς Νιόβης, χωρεῖν δὲ πορθμίδ' ἀναβοᾷ,
καλεῖ δὲ μοῖρα νύχιος ἧς κλύειν χρεών,
ἵν' ἔχων ἀποτρέχω πάντα τἀμαυτοῦ κάτω,
τοῦ πουλύποδός μοι τὸ κατάλοιπον ἀπόδοτε.

Votum voluptarij.

Philoxenus ille, fama vt fert Cytherius,
Vtinam, dicebat, tricubitalem gutturem
Habeam, vt glutire possim multo tempore,
Pariterque omnigenis memet oblectem cibis.

Ioci repercussi.

Peregrinus quidam transfuga esse creditus
Athenas forte cum venisset, Maniam
Acciuit ad se, quantum depoposcerat
Argenti numerans. forte ad cœnam assumserat
Vrbanos aliquot ciues quos scurras vocant,
Ridere solitos in cuiusuis gratiam.
Ibi tum venustum facere se ac lepidum volens,
Cùm Mania, vt erat sollers, scite luderet,
Et simul ad leporem sæpius consurgeret,
Eam ferire dicto cupiens, Dicite,
Quæso, adolescentes, inquit, quæ vobis fera
Visa est per montes cursitare celerrime?
Tum Mania: Id quod quæris dicam; transfuga.
Egressa rursum cùm introijsset Mania,
Ridere cœpit transfugam & parmam obijcit
Amissam cùm acies prælio confligerent.
At miles vultu nonnihil iram præferens
Dimisit illam, quæ cùm iam discederet;
Amice, ne istud, inquit, tam grauiter feras.
Nam tunc cùm fugeres non amisti tu quidem
Parmam, sed is qui tibi eam commodauerat.

Apud Gnathænam cùm potaret Diphilus
Sacro nimirum Veneris, vt narrant, die,
Eximio amore se ab ea credens diligi,
Et esse in honore maximo inter cæteros,
Vnguenta attulerat, amphoras Chij duas,
Et totidem Thasij, bellaria, redimicula,
Hædum, coronas & coquum & tibicinam.

Φιλόξενός ποθ᾽, ὡς λέγουσ᾽, ὁ Κυθήριος
ηὔξατο τριῶν ἔχειν λάρυγγα πήχεων,
ὅπως καταπίνῃ, φησὶν, ὅ,τι πλεῖστον χρόνον,
καὶ πάνθ᾽ ἅμα μοι τὰ βρώμαθ᾽ ἡδονὴν ποιῇ.

Εἶναι δοκῶν αὐτόμολος ἄνθρωπος ξένος,
καὶ παρεπιδημήσας Ἀθήνησιν ποτὲ
τὴν Μανίαν μετεπέμψαθ᾽ ὅσον ἤτησε δούς.
Εἰς τόνδε πότον ἦν συμπαρειληφὼς τινας
ἐκ τῆς πόλεως τῶν ἐπιγελᾶν εἰθισμένων,
οἳ πάντα τοι στρέφουσιν ἀεὶ πρὸς χάριν.
βουλόμενος εἶναι γλαφυρὸς ἀστεῖός θ᾽ ἅμα,
τῆς Μανίας ἄριστα παιζούσης σφόδρα,
ἀνισταμένης τε πολλάκις εἰς δασύποδα,
αὐτὴν ἐπικροῦσαι βουλόμενος, πρὸς τὴν θεόν,
μειράκια, τί δοκεῖ τῶν ἀγρίων ὑμῖν ποτὲ
ἐν τοῖς ὄρεσι τάχιστα θηρίον τρέχειν;
ἡ Μανία, αὐτόμολος, ὦ βέλτιστ᾽, ἔφη.
μετὰ ταῦτα δ᾽ ὡς εἰσῆλθε πάλιν ἡ Μανία
τὸν αὐτόμολον ἔσκωπτε, ῥίψασπίν τ᾽ ἔφη
αὐτὸν γεγονέναι προσβολῆς οὔσης ποτέ.
ὁ δὲ στρατιώτης, ἀπό τι καὶ σκυθρωπάσας,
ἀπέπεμψε ταύτην· διαλιποῦσα δ᾽ ἡ ἑταίρα,
μηδὲν παρὰ τοῦτο, φησὶ, λυποῦ, φίλτατε·
οὐ γὰρ σὺ φεύγων ἀπέβαλες τὴν ἀσπίδα,
μὰ τὴν Ἀφροδίτην, ἀλλ᾽ ὁ σοὶ χρήσας τότε.

Παρὰ Γναθαίνῃ Δίφιλος πίνων ποτὲ
ἐπὶ δεῖπνον, ὡς λέγουσι, τοῖς Ἀφροδισίοις,
ὡς δῆθ᾽ ἀπ᾽ αὐτῆς ἐκτενῶς ἀγαπώμενος
τιμώμενός τε μάλιστα τῶν ἐρωμένων
παρῆν, ἔχων δύο Χῖα, Θάσια τέτταρα,
μύρον, στεφάνους, τραγήματα, ἔριφον, ταινίας,
ὄψον, μάγειρον, τὰ μετὰ ταῦτ᾽ αὐλητρίδα·

Interea cùm peregrinus amator Syriacus
Saperdam ei misisset & pariter niuem,
Valde præmetuens nequis id rescisceret,
Inprimis verita Diphilum ne Comicis
Traducta ludis olim supplicium daret,
Deferri iussit salsamentum protinus
Ad eos qui egere se profiterentur salis:
At puero clam præcepit vt laticem mero
Misceret quantum cyathi vix caperent decem,
Ac temperatum sic adferret Diphilo:
Qui cùm bibisset poculum allatum sibi,
Perculsus tanto frigoris miraculo,
Ita me, inquit, Pallas amet & quicquid est Deûm,
Gnathæna, gelidus admodum est puteus tibi.
At illa; Quid ni? nanque in eum nos sedulo
Prologos tuarum fabularum immittimus.
Exstructus altis verbero vibicibus
Cubabat forte cum Gnathæna in lectulo:
Illa vbi persensit mediis in complexibus
Male complanati tergi extuberantiam,
Miser, vnde hæc, inquit, accepisti vulnera?
Respondit ille mirum quam compendio,
Paruum ludentem saltu se cum æqualibus
Prolapsum in ignem resupinato corpore.
Gnathæna arridens: Tam proteruus cum fores,
Ecastor vapulasti non iniuria.

Conuiuator decori immemor.

Apud Dexitheam forte cœnatum iuerat
Gnathæna. matri cùm suæ seponeret
Dexithea ferme quicquid erat obsonij,
Ibi tum Gnathæna: Ecastor, si id scissem antea,
Matri tuæ, inquit, condixissem, non tibi.
Interrogauit Eucratem cognomine

καὶ τῶν ἐραστῶν Συριακοῦ τινὸς ξένου
πέμψαντος αὐτῇ χιόνα σαπέρδην θ' ἕνα,
αἰσχυνομένη τὰ δῶρα μή τις καταμάθῃ,
φυλαττομένη τε πολὺ μάλιστα Δίφιλον
μὴ δῷ δίκην μετὰ ταῦτα κωμῳδουμένη,
τὸ μὲν τάριχος εἶπε ταχέως τινὶ ἀποφέρειν
πρὸς τοὺς ἀνδνίζειν ὁμολογουμένους ἅλας·
τὴν χιόνα δ' εἰς τὸν ἄκρατον ἐνσεῖσαι λάθρα·
τῷ παιδὶ δ' ἐπέταξ' ἐγχέονθ' ὅσον δέκα
κυάθους προσενεγκεῖν Διφίλῳ ποτήριον.
ἀηδέως δὲ τὴν κύλικ' ἐκπιὼν ἄφνω,
καὶ τὸ παράδοξον καταπλαγεὶς ὁ Δίφιλος,
νὴ τὴν Ἀθηνᾶν καὶ θεούς, ψυχρόν γ', ἔφη,
Γνάθαιν', ἔχεις τὸν λάκκον ὁμολογουμένως.
ἡ δ' εἶπε, τῶν σῶν δραμάτων γὰρ ἐπιμελῶς
Εἰς αὐτὸν ἀεὶ τοὺς προλόγους ἐμβάλλομεν.
Μαστιγίας μώλωπας ὑψηλοὺς ἔχων
μετὰ τῆς Γναθαίνης ἀπὸ τύχης ἀνεπαύετο·
περιλαμβάνουσα δ' αὐτὸν ὡς ἀνωμάλως
τὸν νῶτον εἶχε παντελῶς· τάλαν, τάλαν
ἄνερ, πόθεν εἶχες ταῦτ', ἔφη, τὰ τραύματα;
κἀκεῖνος αὐτῇ συντόμως ἀπεκρίνατο,
ὅτι παῖς ποτ' ὢν ἐνήλατ' εἴς τε πυρὰν τότε
παίζων μετά τινων ἡλικιωτῶν ἐνέπεσεν.
ναὶ τὴν φίλην Δήμητρα δικαίως τε γάρ,
ἄνθρωπε, φησίν, ἐξεδάρης ἀκόλαστος ὤν.
Παρὰ Δεξιθέᾳ δειπνοῦσα τῇ ἑταίρᾳ ποτὲ
Γνάθαινα, τοὖψον ἀποτιθείσης πᾶν σχεδὸν
τῆς Δεξιθέας τῇ μητρί, νὴ τὴν Ἄρτεμιν
Εἰ, φησίν, ᾔδειν, ἡ Γνάθαινα, τοῦτ' ἐγώ,
τῇ μητρὶ συνεδείπνουν ἄν, οὐχὶ σοί, γύναι.
Τὸν Κόρυδον ἠρώτησεν Εὐκράτη ποτέ

Corydum forte aliquis, quonam tractaret modo
Ipsum Ptolemaeus: ille: Non sat dum scio:
Mihi quod potarem nam dedit, medici vt solent:
At non item prospexit de cibarijs.

Extra vrbem ad nuptiales epulas Charephon
Longi sumebat itineris molestiam:
Cui tum poëta Diphilus forte obuius:
Ego, siquid me audis, auctor tibi sim, Chaerephon,
Ad vtranque vt malam clauos pangas quattuor:
Ne dum demissis manibus longum cursitas,
Crepitantes illas de suo emoueas statu.

ANAXILAI

LYRARVM FABRO. St. Fl. 219. vbi nos nomen comoediæ non asscripsimus. sed libri quidam habent μυρεψοιῷ, pro quo λυρεψοιῷ legendum collata Athenæi & Pollucis loca euincunt.

τῶν συμπαρόντων πῶς κέχρηντ' αὐτῷ ποτὲ
Πτολεμαῖος· οἶδ', ὁ δ' εἶπεν, οὐδέπω σαφῶς·
πεπότικα μὲν γὰρ ὥσπερ ἰατρός μ', ἔφη·
ἃ δεῖ φαγεῖν δὲ ὅτι οὐκ ἔδωκέ μοι.
❦ Ὁδὸν μακρὰν ἐλθόντος ἐπὶ δεῖπνον ποτὲ
τοῦ Χαιρεφῶντος εἰς γάμους ἐξ ἄστεος,
Εἰπεῖν λέγουσι τὸν ποιητὴν Δίφιλον·
Εἰς τὰς ἑαυτοῦ, Χαιρεφῶν, σιαγόνας
ἔγκοψον ἥλους ἑκατέρᾳ γε τέτταρας·
ἵνα μὴ παρασείων καὶ μακρὰν ἑκάστοτε
ὁδὸν βαδίζων τὰς γνάθους διαστρέφῃς.

ΑΝΑΞΙΛΑΟΥ

ΛΥΡΟΠΟΙΩι.

IVVENCVLA.

Visquis vnquam quamquam amauit genere de meretricio,
Dicet nullum æque scelestum posse reperiri genus.
Nam quæ terribilis dracana, quæ Chimæra ignẽ vomens,
Quæ Charybdis, quæ triuertex Scylla canis Neptunia,
Vipera, excetra, Sphinx, leæna, volucre Harpyiarũ genus
Exsuperare nationem valeat exsecrabilem?
Non pote. illæ quod malorum est vsquam, superãt malitia.
Singulas consideremus ordine. primùm Plangonem,
More quæ trucis Chimeræ vastat igne barbaros:
Unus tandem eques est repertus, ipsi qui vitam abstulit:
Nam supellectile omni rapta se proripuit de domo.
At quibus res cum Sinope est nonne res est cum excetra?
Ipsa nanque anus est; at illi iam Gnathæna agnascitur,
Pleraque illam pulchre referens, pestis vt fiat duplex.
Nannium vero quid est quod, oro, à Scylla differat?
Nonne duobus strangulatis iam venatur tertium?
Sed remorum auxilio nauis effugit periculum.
At Charybdim nonne Phryne longe post se postumat:
Quæ nauiculatorem absorpsit totum cum naui sua?
At Theano Siren ipsa est, nisi quod glabro corpore,
Cui feminea vox & os est, crura qualia merulæ.
Sphinx Thebana, hoc nomen omnes in meretrices conuenit,
Quæ nihil dicunt aperte, sed perplexiloquis modis:
Nempe se diligere, amare & vna esse libentissime.
Tum, quadrupes mihi detur, aiunt, lectus aut sedes puta,
Adde bipedem, hæc est puella: veniat postremo tripes.

NEOTTIΔI.

Ὅστις ἀνθρώπων ἑταίραν ἠγάπησε πώποτε,
οὐ γένος τίς ἂν δύναιτο παρανομώτερον φράσαι.
Τίς γὰρ ἂν δράκαιν' ἄμικτος, ἢ Χίμαιρα πυρπνόος,
ἢ Χάρυβδις, ἢ τρίκρανος Σκύλλα ποντία κύων,
Σφὶγξ, ὕδρα, λέαιν', ἔχιδνα, πτηνά θ' Ἀρπυιῶν γένη
εἰς ὑπερβολὴν ἀφῖκται τοῦ καταπτύστου γένους;
Οὐκ ἔνεσθ'· αὗται δ' ἁπασῶν ὑπερέχουσι τῶν κακῶν·
ἔστι δὲ σκοπεῖν ἀπ' ἀρχῆς· πρῶτα μὲν τὴν Πλαγγόνα,
ἥ τις, ὥσπερ ἡ Χίμαιρα, πυρπολεῖ τοὺς βαρβάρους·
Εἷς δὲ μόνος ἱππεύς τις αὐτῆς τὸν βίον παρείλετο·
πάντα τὰ σκεύη γὰρ ἕλκων ᾤχετ' ἐκ τῆς οἰκίας.
οἱ Σινώπῃ δ' αὖ συνόντες, οὐχ ὕδρα σύνεισι νῦν;
γραῦς μὲν αὐτή· παραπέφυκε δ' ἡ Γνάθαινα πλησίον,
ὡς τὰ πολλά γ' εἰσὶ, ταύτης· ἔστι δὲ διπλάσιον κακόν·
ἡ δὲ Ναννίον τί νῦν δὴ διαφέρει Σκύλλης δοκεῖ;
οὐ δύ' ἀποπνίξασ' ἑταίρους τὸν τρίτον θηρεύεται
ἔτι λαβεῖν; ἀλλ' ἐξέπεσέ γε πορθμὶς ἐλατίνῃ πλάτῃ.
ἡ δὲ Φρύνη τὴν Χάρυβδιν οὐχὶ πόρρω που ποιεῖ,
τόν τε ναύκληρον λαβοῦσα καταπέπωκ' αὐτῷ σκάφει;
ἡ Θεανὼ δ' οὐχὶ Σειρήν ἐστιν ἀποτετιλμένη;
βλέμμα καὶ φωνὴ γυναικὸς, τὰ σκέλη δὲ κοψίχου.
Σφίγγα Θηβαίαν δὲ πάσας ἔστι τὰς πόρνας καλεῖν·
αἳ λαλοῦσ' ἁπλῶς μὲν οὐδὲν, ἀλλά τισιν αἰνίγμασιν,
ὡς ἐρῶσι καὶ φιλοῦσι καὶ συνεισιν ἡδέως·
Εἶτα, τετράπους μοι γένοιτο, φασὶ, σκίμπους ἢ θρόνος,
Εἶτα παιδίσκη δίπους τις, εἶτα καὶ τις αὖ τρίπους.

Hæc qui intelligit, recedit illico tanquam Oedipus,
Nîl sui dans, atque ita solus damni se immunem facit.
At qui se credunt amari, sursum tolluntur statim
Cæli sublimes in auras. breuiter quot sunt belluæ,
Inter has est nulla, scorto quæ sit pestilentior.

A. *Si qua ex diuitibus colligens mediocria,*
Pauperibus gratis copiam faceret sui,
Amicè quod sic ageret eo amicæ sibi
Accepit nomen. & tu, quantum prædicas,
Nunc incidisti in amicæ, non meretriculæ
Amorem. estne ergo vere aperta & fraudium
Expers? B. *Venusta certe est: ita me Dî iuuent.*

HYACINTHO LENONE.

ARs Musica edepol, pariter vt terra Africa,
Nouum quotannis aliquod portentum parit.

AVRIFVSORE.

NAm cœnæ hic solus, vt sapientes prædicant,
Principium nouit, at non nouit exitum.

INCERTA COMOEDIA.

TV cochlea ipsa multo es diffidentior,
Quæ adeo est diffidens vt domum circumferat.

ἔπειθ᾽ ὁ μὲν γνοὺς ταῦτ᾽ ἀπῆλθεν εὐθὺς, ὥσπερ Οἰδίπους,
οὐδ᾽ ἓν δύσας ἐκείνῃ, σώζεται δ᾽ ἄκων μόνος·
οἱ δ᾽ ἐρᾶσθαι προσδοκοῦντες εὐθύς εἰσιν ἠρμένοι,
καὶ φέρονθ᾽ ὑψοῦ πρὸς αἰθέρα· συντεμόντι δ᾽ οὐδὲ ἓν
ἔσθ᾽ ἑταίρας, ὅσα πέρ ἐστι, θηρί᾽ ἐξωλέστερον.

A. Ἐὰν δέ τις μετριολογοῦσα δυναμένοις,
τοῖς δεομένοις μὲν οὖν ὑπουργῇ πρὸς χάριν,
ἐκ τῆς ἑταιρείας ἑταίρα τοὔνομα
προσηγορεύθη· καὶ σὺ νῦν οὐχ, ὡς λέγεις,
πόρνης, ἑταίρας δ᾽ εἰς ἔρωτα τυγχάνεις
ἐληλυθώς· ἆρ᾽ ὡς ἀληθῶς ἐστὶ γοῦν
ἁπλῆ τις; B. Ἀστεία μὲν οὖν νὴ τὸν Δία.

ΥΑΚΙΝΘΩι ΠΟΡΝΟΒΟΣΚΩι.

Ἡ Μουσικὴ δ᾽ ὥσπερ Λιβύη, πρὸς τῶν θεῶν
καινόν κατ᾽ ἐνιαυτόν τι τίκτει θηρίον.

ΧΡΥΣΟΧΟΩι.

Δεῖπνου γὰρ ὄντος, ὡς λέγουσιν οἱ σοφοὶ,
ἀρχὴν, τελευτὴν δ᾽ οὐκ ἐπίστασθαι μόνος.

ΑΔΗΛΩι.

Ἀπιστότερος εἶ τῶν κοχλιῶν πολλῷ πάνυ,
οἳ περιφέρουσ᾽ ὑπ᾽ ἀπιστίας τὰς οἰκίας.

Adulatores vere adulant diuites
Ita quaſi vermes. nanque in hominem ſimplicem
Seſe inſinuantes, hunc lædentes exedunt,
Triticeum vt granum, donec vacuefecerint;
Ita hic iam gluma eſt: ille alios admordicat.

ANAXIPPI

FVLGVRITO.

Hem, philoſopharis. at ego reapte comperi
Sapere philoſophos tantùm verborum tenus:
At rebus ipſis eſſe inſipientiſſimos.

Εἰσὶν δὲ κόλακες τῶν ἐχόντων οὐσίας
σκώληκες· εἰς τὸν ἄκακον ἀνθρώπου τρόπον
εἰσδὺς ἕκαστος ἐσθίει καθήμενος,
ἕως ἂν ὥσπερ πυρὸν ἀποδείξῃ κενόν.
ἐπειδ' ὁ μὲν λέμμ' ἐστιν· ὁ δ' ἕτερος δάκνει.

ΑΝΑΞΙΠΠΟΥ

ΚΕΡΑΥΝΟΥΜΕΝΩι.

Εἰμὶ φιλόσοφος· ἀλλὰ τούς γε φιλοσόφους
ἐν τοῖς λόγοις φρονοῦντας εὑρίσκω μόνον·
ἐν τοῖσι δ' ἔργοις ὄντας ἀνοήτους ὁρῶ.

ARCHIPPI

INCERTA COMOEDIA. St. Fl. 227. versus duos qui primum Antiphanis fragmentum sequuntur, Archippo quidam libri tribuunt.

CALLIAE

INCERTA COMOEDIA.

Apud insanos omnibus aiunt
Esse insanire decorum.

ΑΡΧΙΠΠΟΥ

ΑΔΗΛΩι.

ΚΑΛΛΙΑ

ΑΔΗΛΩι.

ΦΑσὶ μετὰ μαγειρομαθῶν
χρῆναι μαγίνεσθαι ἄπαντας.

METAGENIS

AVRIS.

Fames.

AGe, nunc, rogo, cœnemus.
Post si vis quærere, quære
Quodcunque libet. mihi nanque fames
Mirum quæ obliuia portet.

PHILOXENI

CYCLOPE.

COrrumpis vinum, dum sic admisces aquam.
Cum quali me conclusit prodigio Deus?

ΜΕΤΑΓΕΝΟΥΣ

ΑΥΡΑΙΣ.

Ἀλλ' ὦ 'γαθὲ δειπνῶμεν,
κἄπειτά με πυθοῦ τ' ἐπερώτα,
ὅ,τι ἂν βούλῃ· νῦν γὰρ πεινῶν
δεινῶς πως εἰμ' ἐπιλήσμων.

ΦΙΛΟΞΕΝΟΥ

ΚΥΚΛΩΠΙ.

Ἀπώλεσας τὸν οἶνον ἐπιχέας ὕδωρ.
Οἵῳ μ' ὁ δαίμων τέρατι συγκατεῖρξατο;

NICOCHARETIS

INCERTA.

Medicum.

PRo brassica cras balneum elixabimus,
Ut nobis demat crapulæ ægritudinem.

NICOPHRONIS,

aut NICOPHONTIS

SIRENIBVS.

Medicum.

A. *NOstrûm aliquis ficus virides si meridie*
Epulatus obdormiscat, accurrit febris
Continuo. B. *Verum non facienda trioboli:*
Quippe etiam bile nos leuat vomitum ciens.

ΝΙΚΟΧΑΡΗΤΟΣ

ΑΔΗΛΩι.

Εἰς αὔριον αὐτῇ ῥαφανίων ἑψητέον
βολβάριον, ἵνα νῷν ἐξάρῃ τὴν κραιπάλην.

ΝΙΚΟΦΡΟΝΟΣ,

ἢ ΝΙΚΟΦΩΝΤΟΣ

ΣΕΙΡΗΣΙΝ.

Α. Ἐὰν δέ γ' ἐμφαγὼν σῦκα τῆς μεσημβρίας
πρώγαι καθεύδῃ χλωρά, πυρετὸς εὐθέως
ἥκει τρέχων. Β. Οὐκ ἄξιος τριωβόλου·
κᾆθ' αὑτοῦ ἐπιπεσὼν ἐμεῖν ποιεῖ χολήν.

SOPATRI

INCERTA.

EGo me autem noui tres crematurum Dijs
Dialecticos de genere ſuppoſititio:
Et quia vos colere literas intelligo,
Sapientiamque & maxime patientiam,
Periclum faciam dogmatum, primùm quidem,
Fumo: mox vbi vos ignis aſſabit calor,
Grus retrahentem veſtrûm ſiquem videro,
Vendetur ille domino, ſed Zenonio,
Et exportandus; vt qui ſapere haud didicerit.

ΣΩΠΑΤΡΟΥ

ΑΔΗΛΩι.

ΚΑΙ ΓΩ κατακαύσειν ηὐξάμην τοῖς δαίμοσι
διαλεκτικοὺς πρὸς τῶν παρεγγεγραμμένων·
καὶ μὴν φιλοσοφεῖν, φιλολογεῖν τ' ἀκηκοὼς
ὑμᾶς ἐπιμελῶς, καρτερεῖν δ' αἱρουμένους,
τὴν πεῖραν ὑγιῆ λήψομαι τῶν δογμάτων
πρότερον καπνίζων· εἶτ' ἐὰν ὀπτωμένων
ἴδω τιν' ὑμῶν συσπάσαντα τὸ σκέλος,
Ζηνωνικῷ πραθήσεθ' οὗτος κυρίῳ
ἐπ' ἐξαγωγῇ, τὴν φρόνησιν ἀγνοῶν.

TELECLIDÆ

AMPHICTYONIBVS.

Felicia tempora.

FAri incipiam, quale ego quondam
Dederim mortalibus æuum.
Pax primum aderat passim, tanquam
Manibus quæ affunditur vnda:
Morbo atque metu libera tellus
Vitæ bona sponte ferebat.

INCERTA COMOEDIA.

Auctoritas vnius in republica libera.

POpulus nam tradidit illi
Quicquid confert Græcia, vt vrbes
Has soluat, at illiget illas:
Oppida structis claudere muris,
Euertere rursus eosdem:
Maiestatem, federa, pacem,
Fortunas diuitiasque.

ΤΗΛΕΚΛΕΙΔΟΥ

ΑΜΦΙΚΤΥΟΣΙ.

Λέξω τοίνυν βίον ἐξ ἀρχῆς,
ὃν ἐγὼ θνητοῖσι παρεῖχον·
Εἰρήνη μὲν πρῶτον ἁπάντων
ἦν ὥσπερ ὕδωρ κατὰ χειρός·
ἡ γῆ δ' ἔφερ' οὐ δέος οὐδὲ νόσους,
ἀλλ' αὐτόματ' ἦν τὰ δέοντα.

ΑΔΗΛΩι.

Τῶι γὰρ παρέδωκαν Ἀθῆναι
πολέων τε φόρους, αὐτάς τε πόλεις,
τὰς μὲν δεῖν, τὰς δ' ἀναλύειν·
λάϊνα τείχη τὰ μὲν οἰκοδομεῖν,
τὰ δὲ αὖτε πάλιν καταβάλλειν·
σπονδάς, δύναμιν, κράτος, εἰρήνην,
πλοῦτόν τ' εὐδαιμονίαν τε.

PHILETAERI

VENATRICE.

Epicurea vita.

HOminem mortalem facere quid tandem est opus,
Nisi suauiter æuum degere, atque id in diem,
Siquis modo habeat vnde? præterea nihil
Curandum est, quid agant homines, aut quid non agant,
Nec quid futurum cras sit, nostrum est quærere.
Res anxiorum pridianam intus pati
Pecuniam iacere.

Dij Gentium.

Quam blandos quamque molles obtutus habet!
Non frustra Amicæ templum passim cernimus;
At templum vxoris nusquam in tota est Græcia.

OENOPIONE.

MOrtalium
Qui non bene viuunt cùm diuitiæ suppetant,
Hos omnium esse prædico miserrimos.
Nam mortuus non comedes anguillas, neque
Coquuntur in orco liba nuptialia.

ΦΙΛΕΤΑΙΡΟΥ

ΚΥΝΗΓΕΤΙΔΙ.

Τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν,
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν,
ἐάν γ' ἔχῃ τις ὁπόθεν; ἀλλ' οὐ δεῖ σκοπεῖν,
οὐδ' αὐτὰ τἀνθρώπει' ὁρᾶν τὰ πράγματα.
Εἰς αὔριον δὲ μηδὲ φροντίζειν, τί αὖ
ἔσται· περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
ἕωλον ἔνδον ἀργύριον.
Ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει;
οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

ΟΙΝΟΠΙΩΝΙ.

Θνητῶν δ' ὅσοι
ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον,
ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω·
οὐ γὰρ θανών γε δήπου ἔγχελυν φάγοις,
οὐδ' ἐν νεκροῖσι πέττεται γαμήλιος.

IOPHONTIS

BACCHIS. St. Ecl. 173. vbi nomen comœdiæ alij libri adſcriptum habent.

LYSIPPI

INCERTA.

Vrbis laus.

Athenas nunquam ſi vidiſti, ſtipes es:
Quod ſi vidiſti, nec placuerunt, es aſinus:
Quod ſi placuerunt, & abis, es cantherius.
Hæc nanque vrbs verè Graia.

ΙΟΦΩΝΤΟΣ

ΒΑΚΧΑΙΣ.

ΛΥΣΙΠΠΟΥ

ΑΔΗΛΩι.

ΕΙ μὴ τεθέασαι τὰς Ἀθήνας, στέλεχος εἶ·
εἰ δὲ τεθέασαι, μὴ διαρεστήσας δ', ὄνος·
εἰ δ' διαρεστῶν ἀποτρέχεις, κανθήλιος.
αὕτη πόλις ἐστὶ Ἑλλάδος.

NAVSICRATIS

INCERTA.

Nam quis leonem vidit in terra Attica,
Quis aliam similem ibidem conspexit feram,
Vbi vix labore magno leporem repereris?

STRATTIDIS

PHOENISSIS.

Bona seorsim, mala iunctim.

Sapienter admonere vos aliquid volo,
Ne misceant vnguenta qui lentem coquunt.

INCERTA COMOEDIA.

Adest vbi Chius, Coüm non patitur loqui.

ΝΑΥΣΙΚΡΑΤΟΥΣ

ΑΔΗΛΩι.

ΕΝ τῇ γὰρ Ἀττικῇ τίς εἶδε πώποτε
λέοντας, ἢ τοιοῦτον ἕτερον θηρίον,
οὗ δασύποδ᾽ εὑρεῖν ἐστὶν οὐχὶ ῥᾴδιον;

ΣΤΡΑΤΤΙΔΟΣ

ΦΟΙΝΙΣΣΑΙΣ.

ΠΑραινέσαι δὲ σφῷν τι βούλομαι σοφὸν,
ὅταν φακῆν ἕψητε μὴ 'πιχεῖν μύρον.

ΑΔΗΛΩι.

ΧΙος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

SOPHRONIS

INCERTA COMOEDIA. St. Fl. 483.

HEGESIPPI

INCERTA.

Epicurea philosophia.

EPicurus ille sapiens, cùm quis quæreret
Ab eo, quod illud esset eximium bonum,
Quod quæritarent, Nîl nisi voluptas, ait.
Salue vir optime atque sapientissime.
Nam nîl reuera melius est quam mandere.
Bonum huic adiunctum est: nam voluptas est bo-

ΣΩ-

ΣΩΦΡΟΝΟΣ

ΑΔΗΛΩι.

ΗΓΗΣΙΠΠΟΥ

ΦΙΛΕΤΑΙΡΩι.

Ἐπίκουρος ὁ σοφὸς ἀξιώσαντός τινὸς
εἰπεῖν πρὸς αὐτὸν, ὅ,τι ποτ' ἐστὶ τ' ἀγαθὸν
ὃ διὰ τέλους ζητοῦσιν, εἶπεν ἡδονήν.
εὖ γ' ὦ κράτιστ' ἄνθρωπε καὶ σοφώτατε·
τοῦ γὰρ μασᾶσθαι κρεῖττον οὐκ ἔστ' οὐδὲν·
ἀγαθὸν προσέστι· ἡδονὴ γὰρ τἀγαθόν.

NICOMACHI

IVNONE LVCINA.

Artium concentus.

A. INgenium lepidum ostendis ac tractabile:
Sed negligenter hic fuisti. B. Quomodo?
A. Non explorasti in arte me quantus forem.
An forte ab alijs rem qui scirent didiceras,
Atque ita me conduxisti? B. Nil certe minus.
A. Ignoras igitur forte, famulus & coquus
Quid distent. B. At si docueris, iam sciuero.
A. Accipere ab alio præstinatum obsonium,
Id sic vt oportet concinnatum reddere,
Famuli sunt opera, non coqui. B. Quid prædicas?
A. Coqui perfecti longe est alia qualitas.
Multas ego artes claras nominauerim,
Quas qui non recte didicerit, non debeat
Ad nostram prosilire: de pictoria
Arte aliquid degustandum est. inde aliæ quoque
Addiscendæ artes ante hanc, (intererat mea
Hæc scire te priusquam me conduceres)
Vt medica, sideralis & mensoria.
Nanque omnes vires piscium & inualentiam
Hinc nosse dabitur, quando si consideres
Quisque intempestus aut tempestiuus siet.
Habent articulos nam voluptates suos.
Est cùm sit ipso suauior thynno boax.

ΝΙΚΟΜΑΧΟΥ

ΕΙΛΕΙΘΥΙΑι.

Α. Υποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ
καὶ περισσὸν ὀλίγα περὶ ᾗ πεποίηκάς τι. Β. Πῶς;
Α. Ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐζήτηκας·
ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων,
οὕτω τ' ἐμισθώσω με; Β. Μὰ Δί' ἐγὼ μὲν οὔκ.
Α. Η μὴν ἴσως ἔστιν διαφέρει διακόνου
μάγειρος οὐκ οἶσθ'; Β. Εἴσομαι δέ γ' ἢν λέγῃς.
Α. Τὸ γὰρ παραλαβόντ' ὄψον ἡρμοσμένον
πρότερον, ἀποδοῦναι σκευάσαντα μουσικῶς,
διακόνου 'στὶ τοῦ τυχόντος. Β. Ηράκλεις.
Α. Ο μάγειρος ἔσθ' ὁ τέλεος. ἑτέρα διάθεσις·
πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ,
ὧν μὴ μαθεῖν βουλόμενοι ὀρθῶς, οὐκ ἔνι
ταύτῃ προσελθεῖν εὐθύς· ἀλλ' ἔμπροσθε δεῖ
ζωγραφίας ἧφθαί τι· καὶ μαγειρικῆς
πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας,
(ἅ σ' εἰδέναι μοι κρεῖττον ἦν πρὶν ἐμὲ λαβεῖν)
ἀστρολογικήν. ἰατρικήν, γεωμετρικήν.
τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰ σθενῆ
ἐντεῦθεν εἴσῃ, παρακολουθήσας χρόνοις,
πότ' ἄωρος ἔσθ' ἕκαστος, ἢ πότ' ὥριμος.
τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα.
ἐνίοτε κρείττων γίνεται θύννου βόαξ.

B. *Hoc ita ſit: verum tibi quid cum menſoria?*
A. *Culinam nobis ceu globum proponimus.*
Hunc bene partiri & vnum cum acceperis locum
Speciatim diſtribuere prout arti expedit,
Hæc tralatitia ex arte ſunt menſoria.
B. *Et hoc concedo: verbis nihil vltra eſt opus.*
At de medicina? A. *Sunt difficiles concoqui*
Quidam, ventorum concitatores cibi,
Tormenta, non alimenta: tum vero ſolent
Qui aliena cœnant auidi eſſe, immemores modi.
Ad tales igitur paſtus nobis remedia
Illinc petenda, cuncta vt conuenientibus
Locis locentur accurate atque ordine,
Hoc mutuandum ab arte induperatoria eſt.
Conuiuas numerare artis eſt numerariæ.
Nemo alius hæc præter me deſcribet tibi.
B. *Rogo, me viciſſim vt audias paullum.* A. *Audio.*
B. *Noli moleſtus eſſe vel tibi, vel mihi:*
Sed feriare, quantum in me eſt, hunc diem.

PRAELIO NAVALI. St. Fl. 149.

B. Ἔστω· γεωμετρία δὲ καὶ σοὶ πρᾶγμα τί;
A. Τοὐπτάνιον ἡμεῖς σφαῖραν εἶναι θήσομεθα·
τοῦτο διελέσθαι, καὶ τόπον λαβόντ' ἕνα
μείσαι καὶ εἶδος τῆς τέχνης ἐπιδέξια,
ἐκεῖθεν ἐν τούτῳ θ' ἐστὶ μετενηνεγμένα.
B. Οὕτως πέπεισμαι, καὶ τὰ λοιπὰ μὴ λάλει·
περὶ τῆς ἰατρικῆς δέ; A. Τῶν γὰρ βρωμάτων
πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν
ἔχοντ' ἔνι' ἐστὶν, οὐ τροφήν. δήπουθεν δὲ πᾶς
τἀλλότρια γίνετ' ὀξύχολ', κ' οὐκ ἐγκρατής·
τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα
εὕρητ' ἐκεῖθεν· μεταφορὰ δ' ἐστὶ τέχνης.
ἤδη δὲ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμοὶ
ἕκαστα ποῦ τεθήσεται, ταῦτα τακτικῆς.
ἀριθμοῦ δὲ πλῆθος εἰδέναι, ἀριθμητικῆς.
οὐδεὶς ἕτερός σοι πρὸς ἐμὲ τάδε γράψεται.
B. Μικρὰ διακοῦσαι ἐν μέρει κἀμοῦ. A. Λέγε.
B. Σὺ μηδὲν ἐνόχλει, μήτε σαυτὸν, μήτε με·
ἀπραγμόνως δ' ἄγειν τὴν ἡμέραν.

ΝΑΥΜΑΧΙΑ.

SOSIPATRI

MENDACE.

A. NEquaquam vero habenda despicatui
Ars nostra est, Demyle, recte si consideres:
Sed prostituitur res hæc, atque omnes ferè
Coquos profitentur sese cùm norint nihil:
Corrumpit artis gloriam hoc hominum genus.
At si reperias verinominem coquum,
Ad hoc eductum prima abusque ætatula,
Qui vires rerum teneat, qui omnes didicerit
Bene disciplinas, longe alia, credo, tibi
Res apparebit. soli tres superstites
Hodie restamus, Boïdion & Chariades
Atque ego. licebit alijs oppedas. B. Ain'.
A. Aio. Siconis nunc stat in nobis schola,
Artis qui solidæ primus inuentor fuit.
Sidereos cursus primùm nos docuit Sicon;
Exinde normas architectales dedit;
Sermo postilla de omni natura fuit;
Postremo explicuit artem induperatoriam.
Discere nos voluit hæc ante coquinariam.
B. Vt video, me enicare propositum est tibi.
A. Nequaquam, sed dum redeat è foro puer,
Paullùm mea in hac re spatiabitur oratio,
Vacuum ad loquendum tempus ne frustra effluat.

ΣΩΣΙΠΑΤΡΟΥ

ΚΑΤΑΨΕΥΔΟΜΕΝΩι.

A. Οὐ παντελῶς εὐκαταφρόνητος ἡ τέχνη,
ἂν κατανοήσῃς, ἐστὶν ἰδίᾳ, Δήμυλε.
ἀλλὰ πεπόρνευται τὸ πρᾶγμα, καὶ πάντες σχεδὸν
εἶναι μάγειροί φασιν, οὐδὲν εἰδότες·
ὑπὸ τῶν τοιούτων δ' ἡ τέχνη λυμαίνεται·
ἐπεὶ μάγειρον ἂν λάβῃς ἀληθινὸν,
ἐκ παιδὸς ὀρθῶς εἰς τὸ πρᾶγμ' εἰσηγμένον,
καὶ τὰς δυνάμεις κατέχοντα, καὶ τὰ μαθήματα.
ἅπαντ' ἐφεξῆς εἰδόθ', ἕτερόν σοι τυχὸν
φανήσεται τὸ πρᾶγμα· τρεῖς ἡμεῖς μόνοι
ἐσμὲν ἔτι λοιποὶ, Βοΐδιον καὶ Χαριάδης
ἐγώ τε· τοῖς λοιποῖς δὲ προσπαρέρδου. B. Τί φής;
A. Ἐγώ. τὸ διδασκαλεῖον ἡμεῖς σῴζομεν
τὸ Σίκωνος· οὗτος τῆς τέχνης ἀρχηγὸς ἦν·
ἐδίδασκεν ἡμᾶς πρῶτον ἀστρολογεῖν Σίκων·
ἔπειτα μετὰ τοῦτ' εὐθὺς ἀρχιτεκτονεῖν·
περὶ φύσεως κατ' εἶχε πάντας τοὺς λόγους·
ἐπὶ πᾶσι τούτοις ἔλεγε τὰ στρατηγικά·
περὶ τῆς τέχνης ἔσπευδε ταῦθ' ἡμᾶς μαθεῖν.
B. Ἆρα, σύ με κόπτειν οἷος εἶ γε, φίλτατε.
A. Οὐκ· ἀλλ' ἐν ὅσῳ προσέρχετ' ἐξ ἀγορᾶς ὁ παῖς,
μικρὰ διακινήσω γε περὶ τοῦ πράγματος,
ἵνα τοῦ λαλεῖν λάβωμεν εὔκαιρον χρόνον:

B. *Valde impiger tu certe es.* A. *Audi cætera.*
Inprimis scire oportet insignem coquum
Lapsus ætherios, quando sidera occidant,
Quando exoriantur, quo Sol summo tempore
Productos faciat atque contractos dies,
Quibus signiferi sese teneat partibus.
Nanque, vt docemur, pisces & quicquid cibi est,
Prout vniuersi moles circumuoluitur,
Alias atque alias in se delitias habent.
Hæc siquis norit, vt videbit tempora,
Ita illis recte vtetur ex vsu suo:
At qui ista nescit nîl nisi nugas agit.
At forte scientia architectalis magis
Arti quid nostræ conferat, miraberis.
B. *Equidem mirabar.* A. *Id nunc aperibo tibi.*
Culinam recte constituere, luminis
Quantum opus est capere, venti vnde afflent cernere,
Perconducibile nostrum est ad negotium.
Vt huc aut illuc volitat, differentiam
Afferre fumus assolet coquentibus.
B. *Quid ergo, te precor, artem induperatoriam*
Opus est coquum callere? A. *Nempe ordo vbilibet*
Et in arte quauis plena res sapientiæ est:
At in arte nostra is ordo ducit ordinem.
Adferre missus atque auferre denuo,
Et in his spectare verum articulum temporis,
Quando ferendi citius, quando lentius,
Qualis quaque hora sit conuiuarum gula,
Quos pisces tempus iubeat ferri feruidos,
Et quos remissos, quos item medioximos,
Quos frigefactos penitus, nimirum omnia
Hæc continentur arte induperatoria.

B. A.

B. Ἄπολλον, ἐργώδης. A. Ἄκουσον, ὦ 'γαθέ·
δεῖ τὸν μάγειρον εἰδέναι πρώτιστα μὲν
περὶ τῶν μετεώρων, τάς τε τῶν ἄστρων δύσεις,
καὶ τὰς ἐπιτολάς, καὶ τὸν ἥλιον πότε
ἐπὶ τὴν μακράν τε καὶ βραχεῖαν ἡμέραν
ἐπάνεισι, κἀν ποίοισιν ἐστὶ ζῳδίοις.
τὰ γὰρ ὄψα, φασί, πάντα καὶ τὰ βρώματα
ἐν τῇ περιφορᾷ τῆς ὅλης συντάξεως
ἑτέραν ἐν αὑτοῖς λαμβάνει τὴν ἡδονήν.
ὁ μὲν οὖν κατέχων τὰ τοιαῦτα, τὴν ὥραν ἰδών,
τούτων ἑκάστοις ὡς προσῆκε χρήσεται·
ὁ δ' ἀγνοῶν ταῦτ' εἰκότως τυντλάζεται.
πάλιν δὲ περὶ τῆς ἀρχιτεκτονικῆς ἴσως
ἐθαύμασας τί τῇ τέχνῃ συμβάλλεται.
B. Ἐγώ γ' ἐθαύμασ'. A. Ἀλλ' ὅμως ἐγὼ φράσω.
τοὐπτάνιον ὀρθῶς καταβαλέσθαι, καὶ τὸ φῶς
λαβεῖν ὅσον δεῖ, καὶ τὸ πνεῦμ' ἰδεῖν, πόθεν
ἐστίν, μεγάλην χρείαν τιν' εἰς τὸ πρᾶγμ' ἔχει·
ὁ καπνὸς φερόμενος δεῦρο κἀκεῖ, διαφορὰν
εἴωθε τοῖς ἕψουσιν ἐμποιεῖν τινά.
B. Τί δεῖ δέ, δέομαί σου, ἔτι τὰ στρατηγικὰ
ἔχειν γε τὸν μάγειρον; A. Η τάξις ὦ φῶς
σοφὸν μὲν ἁπανταχοῦ 'στι κἀν πάσῃ τέχνῃ·
ἐν τῇ καθ' ἡμᾶς δ' ὥσπερ ἡγεῖται σχεδόν.
τὸ γὰρ παραθεῖναι κἀφελεῖν τεταγμένως
ἕκαστα, καὶ τὸν καιρὸν ἐπὶ τούτοις ἰδεῖν,
πότε δεῖ πυκνότερον ἐπαγαγεῖν καὶ πότε βάδην,
καὶ πῶς ἔχουσι πρὸς τὸ δεῖπνον, καὶ πότε
ἐν καιρῷ αὐτοῖς ἐστι τῶν ὄψων τὰ μὲν
θερμὰ παραθεῖναι, τὰ δ' ἐπανέντα, τὰ δὲ μέσως,
τὰ δ' ὅλως ἀποψύξαντα, ταῦτα πάντα δὴ
ἐν τοῖς στρατηγικοῖσιν ἐξετάζεται

B. *Quid ergo superest, nisi, cùm me iam docueris*
Quicquid necesse est, viuas ipse in otio?

SOSICRATIS

INCERTA COMOEDIA. St. Fl. 117.

ATHENIONIS

SAMOTHRACIBVS.

Sacrificia & conuiuia.

A. *NEscis ne eam artem quam nos profitemur coqui*
Pietatis rebus contulisse plurimum?
B. *Estne illa vero tanti?* A. *Certe est, barbare.*
Nanque à ferinis perfidiosis moribus
Nos liberauit illa, & à sese inuicem
Edendi rabie ad sanam duxit regulam,
Et eum ipsum quo nunc vtimur vitæ modum

μαθήμασιν. Β. Τί δ' εἶπας; παραδείξας ἐμοὶ
τὰ δέοντ' ἀπελθὼν αὖθις ἡσυχίαν ἄγε.

ΣΩΣΙΚΡΑΤΟΥΣ

ΑΔΗΛΩι.

ΑΘΗΝΙΩΝΟΣ

ΣΑΜΟΘΡΑΞΙΝ.

Α. Οὐκ οἶσθ' ὅτι πάντων ἡ μαγειρικὴ τέχνη
πρὸς εὐσέβειαν πλεῖστα προσενήνεχθ' ὅλως;
Β. Τοιοῦτόν ἐστι τοῦτο; Α. Πάνυ γε, βάρβαρε·
τοῦ θηριώδους καὶ παρασπόνδου βίου
ἡμᾶς γὰρ ἀπολύσασα καὶ τῆς δυσχεροῦς
ἀλληλοφαγίας ἤγαγ' εἰς τάξιν τινὰ,
καὶ τουτονὶ περιῆψεν ὃν νυνὶ βίον

Imposuit. B. *At quo pacto?* A. *Jam attende, eloquar.*
Pastus ex homine atque alia crebruerant mala,
Cùm quidam exortus ingenio excellens homo
Mactare cœpit victimam, carnem ignibus
Assare, quæ cùm humanâ saperet suauius,
Esu abstinuerunt mutuo, assarunt Dijs
Mactatas pecudes. experimentum sui
Semel vt voluptas dederat, hinc facto initio
Artem coquendi in maius maiusque auxerunt:
Vnde & nunc memores morum qui fuerant prius
Quæ Dîs sacrantur exta tradunt ignibus
Sale non adhibito: nam principio non erat
Vsus saliendi ad condituram cognitus.
Sed & hoc postilla placuit: & iam nunc salem.
Sacris non paucis admoueri cernimus
Præscripto ritus patrij, quod vnicum
Nobis salutis exstitit primordium,
Vt studio accenso simul ars consummatior
Fieret coquendi, multis suauitatibus.
B. *Profecto hic nobis alter est Palæphatus.*
A. *Ergo paulatim procedente tempore*
Omasum farctum nescio quis intulit,
Tenerumque coctum cum suo sibi succo hœdulum
Inclusit in pericomma. B. *Ad cantum tibiæ?*
A. *Piscem ambierunt vt nequiret conspici*
Alicula, salsamentum, mella, olusculum.
Cùm propter has quas dixi delicias procul
Abessent cuncti à carnis humanæ esibus,
Sociare vitam libuit, populi colligi
Cœpere, passim surrexerunt oppida:
Artis quæ, vt dixi, nostræ sunt beneficia.
B. *Vale. nam nimius tu meo fores hero.*

ζῶμεν. Β. Τίνα τρόπον; Α. Πρόσεχε, κἀγώ σοι φράσω.
ἀλληλοφαγίας καὶ κακῶν ὄντων συχνῶν,
γενόμενος ἄνθρωπός τις οὐκ ἀβέλτερος
ἔθυσ' ἱερεῖον πρῶτος, ὤπτησε κρέα.
ὡς δ' ἦν τὸ κρέας ἥδιον ἀνθρώπου κρεῶν,
αὐτοὺς μὲν οὐκ ἐμασῶντο, τὰ δὲ βοσκήματα
θύοντες ὤπτων. ὡς δ' ἅπαξ τῆς ἡδονῆς
ἐμπειρίαν τιν' ἔλαβον, ἀρχῆς γενομένης
ἐπὶ πλεῖον ηὖξαν τὴν μαγειρικὴν τέχνην.
ὅθεν ἔτι καὶ νῦν τῶν προτέρων μεμνημένοι
τὰ σπλάγχνα τοῖς θεοῖσιν ὀπτῶσι φλογὶ,
ἅλας οὐ προσάγοντες· οὐ γὰρ ἦσαν οὐδέπω
εἰς τὴν τοιαύτην χρῆσιν ἐξευρημένοι.
ὡς δ' ἤρεσ' αὐτοῖς ὕστερον καὶ τοὺς ἅλας
προσάγουσιν ἤδη τῶν ἱερῶν, γεγραμμένα
τὰ πάτρια διατηροῦντες, ἅπερ ἡμῖν μόνα
ἅπασιν ἀρχὴ γέγονε τῆς σωτηρίας,
τὸ προσφιλοτεχνεῖν, διά τε τῶν ἡδυσμάτων
ἐπὶ πλεῖον αὔξειν τὴν μαγειρικὴν τέχνην.
Β. Καινὸς γάρ ἐστιν οὑτοσὶ Παλαίφατος.
Α. Μετὰ ταῦτα γαστρίον τις ὠνθυλευμένον
προϊόντος εἰσηνέγκατ' ἤδη τοῦ χρόνου.
ἐρίφιον εἶτα τακερὸν, ἐν πνικτῷ, ἀκριβῶς
περικομματίῳ διέλαβεν. Β. Ὑποκρούσας λέγεις;
Α. Ἰχθῦν παρεισεκύκλησεν οὐδ' ὁρώμενον
λάχανον, τάριχος πολυτελὲς, χόνδρον, μέλι.
ὡς πουλὺ διὰ τὰς ἡδονὰς ἃς νῦν λέγω
ἀπεῖχ' ἕκαστος τοῦ φαγεῖν ἂν ἔτι νεκροῦ,
αὑτοῖς ἅπαντες ἠξίουν συζῆν, ὄχλος
ἠθροίζετ', ἐγένοντ' αἱ πόλεις οἰκούμεναι
διὰ τὴν τέχνην, ὅπερ εἶπα, τὴν μαγειρικήν.
Β. Ἄνθρωπε χαῖρε, περιπλὸς εἶ τῷ δεσπότῃ.

A. Nos auspicamur, nos sacrificamus coqui,
Nos & libamus, quia Dî nobis maxime
Sunt obsequentes, qui res tantas reperimus
Quibus adiuti homines æuum recte degerent.
Pietatis igitur causa. B. Plus satis est: tace.
A. Peccaui. B. Hic igitur mecum tu cibum cape:
Mox intus recte tibi quæ traduntur para.

LAONIS

TESTAMENTO. St. Fl. 505.

INCERTA COMOEDIA.

Vsus ex hominibus & locis exteris.

HOminem Bœotam diligas: Bœotiam
Ne fugias: hic vtibilis, illa amabilis.

Α. Καταρχόμεθ' ἡμεῖς οἱ μάγειροι, θύομεν,
σπονδὰς ποιούμεθα, τῶν μάλιστα τοὺς θεοὺς
ἡμῖν ὑπακούειν, διὰ τὸ ταῦθ' εὑρηκέναι
τὰ μάλιστα συντείνοντα πρὸς τὸ ζῆν καλῶς
ὑπὲρ εὐσεβείας οὖν. Β. Ἀφές· παῦσαι λέγων.
Α. Ἥμαρτον. Β. Ἀλλὰ δεῦρό μοι συνέσθιε·
ἔπειτα τοὔψον εὐπρεπῆ ποίει λαβών.

ΛΑΩΝΟΣ

ΔΙΑΘΗΚΗ.

ΑΔΗΛΩι.

Βοιωτὸν ἄνδρα στέργε· τὴν Βοιωτίαν
μὴ φεῦγ'· ὁ μὲν γὰρ χρηστός, ἡ δ' ἐφήμερος.

PHILISCI

INCERTA COMOEDIA. St. Fl. 129. 311.

Populorum ingenia.

CHalcis bonorum est inter Græcos ciuitas.

XENONIS

INCERTA COMOEDIA.

QVot publicani sunt, tot raptores puta.

ΦΙΛΙΣΚΟΥ

ΑΔΗΛΩι.

Χρηστῶν σφόδρ' ἐστι Χαλκὶς Ἑλλήνων πόλις.

ΞΕΝΩΝΟΣ

ΑΔΗΛΩι.

Παντες τελῶναι πάντες εἰσὶν ἅρπαγες.

PHYLLIDII

INCERTA COMOEDIA.

Medicum.

ORo, vti liceat vt salutari conο.
Nam sanitatis pars hæc est potissima,
Haurire purum spiritum, non turbidum.

CRANTORIS

INCERTA COMOEDIA. St. Fl. 387.389.

ΦΥΛΛΙΔΙΟΥ

ΑΔΗΛΩι.

Ἕλκειν τὸ βέδυ σωτήριον παρεσπέρχομαι,
ὅπερ μέγιστόν ἐστιν ὑγιείας μέρος
τὸ τὸν ἀέρ᾽ ἕλκειν καθαρὸν, οὐ τεθολωμένον.

ΚΡΑΝΤΟΡΟΣ

ΑΔΗΛΩι.

ΣΕΡΑΠΙΩΝΟΣ

ΑΔΗΛΩι.

ΣΩΣΙΘΕΟΥ

ΑΘΛΙΩι.

ΣΚΛΗΡΙΑ

ΑΔΗΛΩι.

MNESITHEI

INCERTA COMOEDIA.

Bono Deûm
Obuênit vinum nobis, ingens his bonum
Qui recte vtuntur, aliis pestis pessima.
Alimentum nanque præstat recte vtentibus,
Additque vires pariter animo & corpori:
Sed & ad medicinam maximos vsus habet;
Miscetur quippe poculentis remediis,
Opemque fert vulneribus præsentissimam.
Quotidianis hominum autem in conuictibus,
His qui bene temperatum, nec nimium bibunt,
Dat hilaritatem: vlterius, insolentiam:
Si par aquæ bibatur, etiam insaniam:
Si purum, siderationem corporum.
Merito propterea Liber Medici nomine
Passim indigetatur, atque eundem Pythia
Iussit vocari Sispitem.

ΜΝΗΣΙΘΕΟΥ

ΑΔΗΛΩι.

ΤΟΝ οἶνον οἱ θεοὶ
θνητοῖς κατέδειξαν, τοῖς μὲν ὀρθῶς χρωμένοις
ἀγαθὸν μέγιστον· τοῖς δ᾽ ἀτάκτως, τοὔμπαλιν·
Τροφήν τε γὰρ δίδωσι τοῖσι χρωμένοις,
ἰσχύν τε ταῖς ψυχαῖσι καὶ τοῖς σώμασιν·
Εἰς τὴν ἰατρικήν τε χρησιμώτατον·
καὶ τοῖς ποτοῖς γὰρ φαρμάκοις κεράννυται,
καὶ τοῖσιν ἑλκωθεῖσιν ὠφέλημ᾽ ἔχει·
ἐν ταῖς συνουσίαις τε ταῖς καθ᾽ ἡμέραν,
τοῖς μὲν μέτριον πίνουσι καὶ κεκραμένον,
εὐθυμίαν φέρει· ἐὰν δ᾽ ὑπερβάλῃς, ὕβριν·
ἐὰν δ᾽ ἴσον ἴσῳ προσφέρῃς, μανίαν ποιεῖ·
ἐὰν δ᾽ ἄκρατον, παράλυσιν τῶν γε σωμάτων·
διὸ καὶ καλοῦσι τὸν Διόνυσον πανταχοῦ
ἰατρόν· ἡ δὲ Πυθία εἴρηκέ τισι
Διόνυσον Ὑγιάτην καλεῖν.

ΣΙΜΥΛΟΥ

ΑΔΗΛΩι.

ΔΗΜΩΝΑΚΤΟΣ

ΑΔΗΛΩι.

ΕΚΔΩΡΟΥ

ΑΔΗΛΩι.

HIPPOTHOONTIS

INCERTA COMOEDIA. ST. FL. 115. 151. 277. 283. 477. bis.

HIPPARCHI

PICTORE, ST. FL. 229.

CRATINI

IVNIORIS

OMPHALE.

POtare eum beatus qui vere siet
Satiu'st: labores alios & pugnæ iuuent.

ΙΠΠΟΘΟΟΝΤΟΣ

ΑΔΗΛΩι.

ΙΠΠΑΡΧΟΥ

ΖΩΓΡΑΦΩι.

ΚΡΑΤΙΝΟΥ

ΝΕΩΤΕΡΟΥ

ΟΜΦΑΛΗι.

Πίνειν μὲν ὄντα τὸν καλῶς εὐδαίμονα
κρεῖττον· μάχαι δ' ἄλλοισι καὶ πόνοι μέλοι.

INCERTI

COMICI.

GArrulis nanque omnibus
Forata est lingua parte à summa ad infimam.
Quid enim faceremus prouidum aut memorabile,
Mulieres quæ sedemus rutilantes comas,
Crocotulatæ, vultum pigmento illitæ,
Notam delentes omnem ingenui corporis:
Turbelas domuum, coniugum diuortia
Meditantes, aut in liberos calumnias?
Quædam illum musca momordit corde in intimo.
Lucrator aliquid hyeme, æstate non minus.
Bonus vir ille est ferre qui didicit bona:
Sed & ille bonus dicendus qui bene fert mala.
Si scires quod non vixit vitæ, id omne ei
Fuisse futurum fortunatum perpetim,
Fuerat mors immatura. at vero longius
Æuum tulisset siquid intolerabile,
Rediisses ipse, puto, cum morte in gratiam.
Canities me hinc ablegat illocabilem.
Vir perquam eximius extra quam vbi ferro est opus.
Gratis soporem nobis cùm dederint Dei,
Quid illum sumtuosum tibi tumet facis?

ΑΔΗΛΟΥ

ΚΩΜΩΙΔΟΠΟΙΟΥ.

Τοῖς λάλοις γὰρ ἐξ ἄκρου
ἡ γλῶττα πᾶσιν ἐστι τετρυπημένη.

Τί δ' ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα,
ἢ λαμπρὸν, αἳ καθήμεθ' ἐξηνθισμέναι,
κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι,
λυμηνόμεναι χαρακτῆρα τὸν ἐλεύθερον,
οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς,
καὶ παιδίων διαβολὰς ἀεὶ ποιούμεναι;

Ἡ μυῖ' ἔδακνεν αὐτὸν ἄχρι τῆς καρδίας.

Κέρδαιν' ἐπαῖρε καὶ χειμῶνος καὶ θέρους.

Ἀγαθὸς ἀνὴρ λέγοιθ' ὁ φέρων εὖ τἀγαθά·
ἀγαθὸς δ' ἂν εἴη καὶ ὁ φέρων καλῶς κακά.

Εἶτ' εἰ μὲν ᾔδεις ὅτι τοῦτον τὸν βίον,
ὃν οὐκ ἐβίωσε, ζῶν διευτύχησεν ἂν,
ὁ θάνατος οὐκ εὔκαιρος· εἰ δ' ἤνεγκεν αὖ
οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως
αὐτὸς σὺ γέγονες τῷ θανάτῳ εὐνούστερος.

Λευκή με θρὶξ ἀπόμισθον ἐντεῦθεν ποιεῖ.

Ἀνὴρ ἄριστος τἆλλα πλὴν ἐν ἀσπίδι.

Ἓν καὶ ἡμῖν παρεῖχε τὸν ὕπνον οἱ θεοί·
αὐτὸς δὲ τοῦτο πολυτελὲς σαυτῷ ποιεῖς;

Possum ego neutiquam
Tenuare vocem & fracto gestu corporis,
Ceruice in humeros inclinata incedere,
Vt alios facere video, quorum adeo genus
Numerosum in vrbe est, molles alipilarios.

Honesta iudicare ex strepitu non decet.

Quam res venusta est homo, sed qui vere est homo?

Subito Pœnus factus sum.
Manu altera do, rursus accipio altera.

Vxorem quod iam ducam gaudeo,
Curare totam quæ domum valeat, habens
